Griech.-Röm. P*lastik*, pp. 191 ff.) of his bronze Discobolus which is described by Lucian himself (*Philops.* 18). This and his bronze cow, that stood lowing in the Agora at Athens, were the wonder of the Grecks, who applied to his works the epithet ἔμπνους. Praxiteles flourished about a century later. The only extant work known to be from his hand is the Hermes, with the infant Dionysus on his arm, discovered at Olympia by the Germans in 1877. The Cnidian Aphrodite, his most famous work in antiquity, is described at length by Lucian (*Imagg.* 4 and *Amores* 11 ff.; and see Wolters, op. cit., No. 1215). Hawthorne's "Marble Faun" was only a copy. — **βαρβαρίζουσα**: Lucian likes to remind us of this. Cf. supra § 2. — **σπουδῇ συνείρουσα**: *stringing* (her words) *together in great haste.* Cf. Dem. 328, 12 λόγους συνείρει . . . ἀπνευστεί. — **ὧδέ πως**: *about like this; words to this effect.*

9. ὅτι μή: *except.* Regular classic usage, see Introd. 39 (*b*). — **τεθειμένος**: the pf. tense denotes the hopelessly ingrained habit of life. See Introd. 34 (*a*). — **αὐτὸ μόνον**: *merely this.* Cf. *Char.* 6. — **τῶν . . . εἷς**: cf. § 8 εἰ δὴ τούτων εἷς γένοιο, *Saturnalia* 2 ἰδιώτης εὐθύς εἰμι καὶ τοῦ πολλοῦ δήμου εἷς, and *Apol.* 15 ἀλλά τῳ ἐκ τοῦ πολλοῦ δήμου. See App. Sbdt. reads εἰς ἀεί, *for all time.* — **ἀεί**: *always; on each occasion.* It may be construed with both

καὶ τὸν λέγειν δυνάμενον θεραπεύων, λαγὼ βίον ζῶν καὶ τοῦ κρείττονος ἔρμαιον ὤν· εἰ δὲ καὶ Φειδίας ἢ Πολύκλειτος γένοιο καὶ πολλὰ θαυμαστὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δὲ ὅστις τῶν ἰδόντων, εἰ νοῦν ἔχει, εὔξαιτ' ἂν ὅμοιός σοι γενέσθαι· οἷος γὰρ ἂν ᾖς, βάναυσος καὶ χειρῶναξ καὶ ἀποχειροβίωτος νομισθήσῃ. ἢν δ' ἐμοὶ πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστὰς καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα καὶ πάντων ὡς εἰπεῖν ἔμπειρον ἀποφαίνουσα, καὶ τὴν ψυχήν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πραότητι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀληθῶς κόσμος. λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ μέλλοντα προόψει μετ' ἐμοῦ, καὶ ὅλως ἅπαντα ὁπόσα ἐστί, τά τε θεῖα τά τ' ἀνθρώπινα, οὐκ εἰς μακράν σε διδάξομαι.

11 καὶ ὁ νῦν πένης ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ ἀγενοῦς οὕτω τέχνης, μετ' ὀλίγον ἅπασι ζηλωτὸς καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος καὶ ἐπαινούμενος καὶ ἐπὶ τοῖς ἀρίστοις

participles: *always ready to crouch down before the man of prominence and to fawn upon the clever spokesman.* See App. — **λαγὼ βίον ζῶν**: proverbial; cf. Eng. "living a dog's life," and cf. Dem. *de Cor.* 263 λαγὼ βίον ἔζης δεδιώς κτλ., also see Hdt. 3, 108 ὁ λαγὸς ὑπὸ πάντων θηρεύεται καὶ θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου. — **ἔρμαιον**: *a godsend.* Possibly a fling at her rival Ἑρμογλυφική. — **βάναυσος**: *mechanic.* Cf. *Jupp. Conf.* 8 ὁ Ἥφαιστος δὲ χωλός ἐστι καὶ βάναυσός τις καὶ πυρίτης τὴν τέχνην.

10. **παλαιῶν ἀνδρῶν**: *of (the) old worthies.* — **ὡς εἰπεῖν**: const. with πάντων. — **κυριώτατον**: *supreme.* Cf. Plato *Rep.* 565 A ὃ δὴ . . . κυριώτατον ἐν δημοκρατίᾳ. For the thought cf. the prayer of Socrates, Plato *Phaedr.* 279 B, καλῷ γενέσθαι τἄνδοθεν, whence Whittier (*My Namesake*):

> I pray the prayer of Plato old,
> God make thee beautiful within.

— **σωφροσύνῃ** κτλ.: the conventional list of the philosopher's virtues. — **διδάξομαι**: mid. for act. See App. on § 2.

11. **τοῦ δεῖνος**: *son of Mr. What-d'ye-call-him.* — **ζηλωτὸς καὶ ἐπίφθονος**: *exciting envy and jealousy.* Less suited to the context would be *emulated*

εὐδοκιμῶν καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος, ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος — δείξασα τὴν ἑαυτῆς· πάνυ δὲ λαμπρὰν ἐφόρει — ἀρχῆς δὲ καὶ προεδρίας ἀξιούμενος· κἄν που ἀποδημῇς, οὐδ' ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς καὶ ἀφανὴς ἔσῃ· τοιαῦτά σοι περιθήσω τὰ γνωρίσματα, ὥστε τῶν ὁρώντων ἕκαστος τὸν πλησίον κινήσας
12 δείξει σε τῷ δακτύλῳ "οὗτος ἐκεῖνος" λέγων. ἂν δέ τι σπουδῆς ἄξιον ἢ τοὺς φίλους ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἄν πού τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες καὶ εὐδαιμονίζοντες καὶ σὲ τῆς δυνάμεως τῶν λόγων καὶ τὸν πατέρα τῆς εὐπαιδίας· ὃ δὲ λέγουσιν, ὡς ἄρα καὶ ἀθάνατοί γίγνονταί τινες ἐξ ἀνθρώπων, τοῦτό σοι περιποιήσω· καὶ γὰρ ἦν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις καὶ προσομιλῶν τοῖς ἀρίστοις. ὁρᾷς

and envied. — **ἐφόρει**: distinguish from *φέρω*, see L. & S. s.v., 1 and 2. Cf. Lat. gesto and gero. — **ἀρχῆς**: *office.* Lucian himself (later) held office under the Roman government. See Introd. 4. — **προεδρίας**: four classes of persons were honored with front seats at the games, public assemblies, or theatres, viz. priests and priestesses, certain magistrates, foreign envoys, citizen benefactors. Often exemption (*ἀτέλεια*) from civic burdens was included: cf. Hicks, *Gr. Inscr.* 99 . . . *δεδόσθαι δὲ αὐτῷ καὶ ἐγγόνοις προεδρίαν καὶ ἀτέλειαν πάντων.* For a list of the occupants of the marble *θρόνοι* in the Dionysiac Theatre at Athens see Harrison & Verrall, *Mythol. and Monuments of Anc. Athens* 274. — **τὸν πλησίον κινήσας**: *nudging his fellow.* — **δείξει . . . οὗτος ἐκεῖνος**: in another *προλαλιά*, i.e. *Herod.* 2, Lucian thus indicates the fame of the "Father of History": *εἴ πού γε φανείη μόνον, ἐδείκνυτο ἂν τῷ δακτύλῳ, Οὗτος ἐκεῖνος Ἡρόδοτός ἐστιν, ὁ τὰς μάχας τὰς Περσικὰς Ἰαστὶ συγγεγραφώς.* Cf. Persius *Sat.* 1, 28 At pulchrum est digito monstrari et dicier "Hic est."

12. ἂν δέ τι σπουδῆς . . . καταλαμβάνῃ: *if something serious shall befall.* Not *necessarily* a misfortune; an occasion of rejoicing also would call for an orator. — **τοῦτό σοι περιποιήσω**: *this I will make good in your case.* — **αὐτὸς . . . ἀπέλθῃς**: *you*, in contrast with his writings. Heitland well compares *Pisc.* 6 *τοῖς λόγοις οὓς καταλελοίπατε ὁμιλῶν.* The thought is not, as *συνών* might suggest, the communion with the "mighty dead," as it is in Plato *Apol.* 41 A. — **τοῖς πεπαιδευμένοις**: *the*

τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα ἐγὼ ἡλίκον ἐποίησα; ὁρᾷς τὸν Αἰσχίνην, ὃς τυμπανιστρίας υἱὸς ἦν, ὅπως αὐτὸν δι' ἐμὲ Φίλιππος ἐθεράπευσεν; ὁ δὲ Σωκράτης καὶ αὐτὸς ὑπὸ τῇ Ἑρμογλυφικῇ ταύτῃ τραφεὶς ἐπειδὴ τάχιστα συνῆκε τοῦ κρείττονος καὶ δραπετεύσας παρ' αὐτῆς ηὐτομόλησεν ὡς ἐμέ, ἀκούεις ὡς παρὰ πάντων ᾄδεται. ἀφεὶς δὲ σὺ τοὺς τηλικούτους καὶ τοιούτους ἄνδρας καὶ πράξεις λαμπρὰς καὶ λόγους σεμνοὺς καὶ σχῆμα εὐπρεπὲς καὶ τιμὴν καὶ δόξαν καὶ ἔπαινον καὶ προεδρίας καὶ δυνάμεις καὶ ἀρχὰς καὶ τὸ ἐπὶ λόγοις εὐδοκιμεῖν καὶ τὸ ἐπὶ συνέσει εὐδαιμονίζεσθαι χιτώνιόν τι πιναρὸν ἐνδύσῃ καὶ σχῆμα δουλοπρεπὲς ἀναλήψῃ καὶ μοχλία καὶ γλυφεῖα καὶ κοπέας καὶ κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις κάτω νενευκὼς εἰς τὸ ἔργον, χαμαιπετὴς καὶ χαμαίζηλος καὶ πάντα τρόπον ταπεινός, ἀνακύπτων δὲ οὐδέποτε οὐδὲ ἀνδρῶδες οὐδὲ ἐλεύθερον οὐδὲν ἐπινοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα καὶ εὐσχήμονα ἔσται σοι προνοῶν, ὅπως δὲ αὐτὸς εὔρυθμος καὶ κόσμιος ἔσῃ, ἥκιστα

well-educated. Note tense, Introd. 34 (*a*). — **Δημοσθένην . . . τίνος υἱόν**: it suits Paideia to belittle Demosthenes's father as "in trade." — **τίνος . . . ἡλίκον**: the double interr., so awkward in English, gives in itself a flavor of Demosthenes. Cf. the old squib:

A libel tells us, if we follow Hume,
How, when, and where who did what wrong to whom.

Cf. *Vit. Auct.* 4 εἶσεαι . . . ὁκοῖα ἐόντα μορφὴν ὅκως κινέονται. — **τυμπανιστρίας**: Demosthenes thus taunts Aeschines, *de Cor.* § 284. — **ἐθεράπευσεν**: *courted; cultivated.* — **Σωκράτης . . . τραφείς**: his father Sophroniscus was a sculptor. For the group of the Three Graces, attributed to Socrates, cf. Paus. 1, 22, 8, and Harrison & Verrall, *Mythol. and Monuments of Anc. Athens*, p. 375. — **ὑπὸ τῇ Ἑρμογλυφικῇ**: for *ὑπό* c. dat. see Introd. 25.

13. μοχλία κτλ.: *levers, burins, chisels, and gravers.* — **νενευκώς**: note tense, *round-shouldered.* — **χαμαιπετὴς καὶ χαμαίζηλος**: *a grovelling groundling.* The anaphora of *χαμαι-* is forcible. — **αὐτὸς εὔρυθμος . . .**: cf. *Pisc.* 30 εἴ τις πρὸς τούτους (τοὺς κάνονας) ῥυθμίζοι καὶ ἀπευθύνοι τὸν ἑαυτοῦ βίον. For the thought cf. Whittier (*My Namesake*):

Life made by duty epical
And rhythmic with the truth.

For the antithesis cf. Mrs. Browning (*Lady Geraldine*):

Little thinking if we work our souls as nobly as our iron.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

ὁ Τριπτόλεμος ἀποσπείρων τι ἐς τὴν γῆν. οὐκέτι μέντοι μέμνημαι ὅ τι τὸ σπειρόμενον ἐκεῖνο ἦν, πλὴν τοῦτο μόνον, ὅτι κάτωθεν ἀφορῶντες ἄνθρωποι ἐπῄνουν καὶ μετ' εὐφη-
16 μίας καθ' οὓς γενοίμην τῇ πτήσει παρέπεμπον. δείξασα δέ μοι τὰ τοσαῦτα κἀμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις ἐπανήγαγεν αὖθις οὐκέτι τὴν αὐτὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα ἣν εἶχον ἀφιπτάμενος, ἀλλά μοι ἐδόκουν εὐπάρυφός τις ἐπανήκειν. καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα καὶ περιμένοντα ἐδείκνυεν αὐτῷ ἐκείνη τὴν ἐσθῆτα κἀμέ, οἷος ἥκοιμι, καί τι καὶ ὑπέμνησεν οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσαντο. ταῦτα μέμνημαι ἰδὼν ἀντίπαις ἔτι ὤν, ἐμοὶ δοκεῖν, ἐκτα-
17 ραχθεὶς πρὸς τὸν τῶν πληγῶν φόβον. μεταξὺ δὲ λέγοντος, Ἡράκλεις, ἔφη τις, ὡς μακρὸν τὸ ἐνύπνιον καὶ δικανικόν. εἶτ' ἄλλος ὑπέκρουσε, Χειμερινὸς ὄνειρος, ὅτε μήκισταί εἰσιν αἱ νύκτες, ἢ τάχα που τριέσπερος, ὥσπερ ὁ Ἡρακλῆς, καὶ αὐτός ἐστι. τί δ' οὖν ἐπῆλθεν αὐτῷ ληρῆσαι ταῦτα

verb by Sbdt.) recalls the cyclorama of Χάρων ἢ Ἐπισκοποῦντες. — **Τριπτόλεμος**: the favorite of Demeter, who, from the flying chariot provided by the goddess, distributed the seed-corn to men. — **τὸ σπειρόμενον**: here, as elsewhere, Lucian claims to be a missionary of culture; cf. § 18. — **καθ' οὓς**: *over against whom.* L. & S. s.v., B, I, 3; cf. Xen. *Anab.* 4, 3, 17 ἐπειδὴ δὲ ἦσαν κατὰ (*opposite*) τὴν διάβασιν and *V.H.* B 1 διορύξασι κατὰ (*at*) τὸν δεξιὸν τοῖχον.

16. ἐνδεδυκότα: *clad in.* See Introd. 34 (*a*). — **εὐπάρυφός τις**: *one of your grandees.* For samples of these παρυφαί see Dict. Antiq. s.v. "Dress," and cf. L. & S. s. vv. λευκοπάρυφος, φοινικοπάρυφος, χρυσοπάρυφος. — **ἐδείκνυεν**: for form see Introd. 14 (*a*). — **ἐκείνη**: i.e. ἡ παιδεία, but see App. — **καί τι καὶ ὑπέμνησεν**: *and even jogged his memory a little.* — **οἷα . . . ἐβουλεύσαντο**: *as to what plans they had all but made.* — **ἐκταραχθείς**: note prep., *scared out of my senses.* — **πρὸς τὸν . . . φόβον**: see L. & S. s.v. πρός C, III, 2.

17. μεταξύ: adv.; cf. *Icar.* 24 μεταξύ τε προιὼν ἀνέκρινε, *while going forward he kept asking.* With λέγοντος sc. ἐμοῦ. — **Ἡράκλεις**: for omission of ὦ see note on § 7. — **δικανικόν**: *lawyer-like; circumstantial; tiresome.* Lucian had been a lawyer. — **ὅτε . . . νύκτες**: tr. freely "a winter's dream — yes, a midwinter-night's dream." Sbdt. would omit these apparently redundant words, but they may be justified as a specific reference to the *bruma*, i.e. *the longest of midwinter nights.* — **τριέσπερος**; for the allusion see *D.*

πρὸς ἡμᾶς καὶ μνησθῆναι παιδικῆς νυκτὸς καὶ ὀνείρων
190 παλαιῶν καὶ γεγηρακότων; ἔωλος γὰρ ἡ ψυχρολογία· μὴ
ὀνείρων ὑποκριτάς τινας ἡμᾶς ὑπείληφεν; Οὔκ,·ὠγαθέ· οὐδὲ
γὰρ ὁ Ξενοφῶν ποτε διηγούμενος τὸ ἐνύπνιον, ὡς ἐδόκει
αὐτῷ καὶ τὰ ἐν πατρῴᾳ οἰκίᾳ καὶ τὰ ἄλλα—ἴστε γάρ—οὐχ
ὑπόκρισιν τὴν ὄψιν οὐδ' ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξῄει,
195 καὶ ταῦτα ἐν πολέμῳ καὶ μάχῃ καὶ ἀπογνώσει πραγμάτων,
περιεστώτων πολεμίων, ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διή-
18 γησις. καὶ τοίνυν κἀγὼ τοῦτον τὸν ὄνειρον ὑμῖν διηγησά-
μην ἐκείνου ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται
καὶ παιδείας ἔχωνται, καὶ μάλιστα, εἴ τις αὐτῶν ὑπὸ πενίας
200 ἐθελοκακεῖ καὶ πρὸς τὰ ἥττω ἀποκλίνει φύσιν οὐκ ἀγεννῆ
διαφθείρων· ἐπιρρωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος ἀκούσας
τοῦ μύθου, ἱκανὸν ἑαυτῷ παράδειγμα ἐμὲ προστησάμενος,
ἐννοῶν οἷος μὲν ὢν πρὸς τὰ κάλλιστα ὥρμησα καὶ παιδείας
ἐπεθύμησα μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε,
205 οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς
γοῦν τῶν λιθογλύφων ἀδοξότερος.

Deor. 10, —**γεγηρακότων**: *superannuated.* —**ἔωλος**: *left over till the morrow; stale.* —**ψυχρολογία**: tr. "such frigid wit." —**ὁ Ξενοφῶν ποτε διηγούμενος . . .**: cf. Xen. *Anab.* 3, 1, 11 ff., εἶδεν ὄναρ. ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκηπτὸς πεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσα. Lucian's audience could be depended upon to supply the well-known story—τὰ ἄλλα—without the specific details. See App. Xenophon, however, as a matter of fact did not mention his dream ἐν πολέμῳ . . . περιεστώτων πολεμίων, but wrote it down at his leisure subsequently. —**ὑπόκρισιν**: the words above, ὀνείρων ὑποκριτάς, suggest the tr., *as matter for interpretation*, otherwise the usual meaning, *declamation*, might be retained. —**οὐδ' ὡς . . . ἐγνωκώς**: *nor yet as resolved to jest.* Cf. Thuc. 1, 43 γνόντες τοῦτον ἐκεῖνον εἶναι τὸν καιρόν.

18. καὶ τοίνυν κτλ.: this, although stilted, must be taken in good faith; so, too, in *Pisc.* 52 we have a serious declaration of his mission: "crown the true, brand the shams." —**μηδὲν ἀποδειλιάσας**: for οὐδὲν ἀποδειλιάσας. See Introd. 39 (*e*). —**πρός**: see § 16. —**οὐδενὸς γοῦν . . . ἀδοξότερος**: *at any rate, no less famous than any stone-carver of them all.* Confident understatement.

CHARON

INTRODUCTION

Comes the blind Fury with the abhorrèd shears,
And slits the thin-spun life.

MILTON, *Lycidas.*

See you nought
That young man that hath shoon bought
And strong leather to do them clout
And grease to smear them round about?
He weeneth to live them to wear:
But by my soul I dare well swear
His wretched life he shall forlet
Ere he be come to his own gate.

Merlin Legend.

The theme of the *Charon* is an oft-repeated one — the sudden reversal of fortune, the relentlessness of fate. But on Lucian's page it is as new [1] as disappointment has ever been to every man. The piece is full of his best humor; it is cynical yet serious, and is in his most dramatic style. Not only are the chief characters, Hermes and Charon, living and real, but so are Croesus and Solon as we listen to their tête-à-tête. All the scenes move as clearly before us as they do before Charon's eyes, newly anointed with Homeric eyesalve.

The structure of the piece is simple. Charon has leave of absence from his ferry for a day. Hermes meets him before a house in an Athenian street (or, possibly, in Rome) laughing over

[1] For the question of an imitation of some satire of Menippus, cf. Bolderman, *Stud. Luc.*, p. 89: Portasse Charon ad quoddam Menippi exemplum compositus est, qui tam saepe fabulas a deis inferis agi finxit, sed quia documenta absunt, litem dirimere non audeo.

a man who is prevented by sudden death,[1] due to a falling tile, from keeping a dinner engagement. This is the key-note to the whole, but the explanation of his amusement is artistically postponed until later, when Hermes, persuaded with difficulty to act as cicerone, has piled up mountain upon mountain and proceeds to give to his "personally conducted" partner in business all that can be seen or known in a single day of men and manners of the sixth-century world outspread before them. The samples suffice. With his laughter changed to the indignation of a seer, Charon at the end returns to his business convinced of men's folly in busying themselves about gold and boundaries and the being bidden to dinner, seeing that soon his boat shall bring them "to that wide port where all are bidden."[2] Thus extremes meet — Cynicism[3] and the new Christian undervaluing of things temporal balanced against things eternal. In the *Dialogues of the Dead* the bitterness and cynicism of Lucian come uppermost, but in the *Charon* there is more of the helpless pathos of human life that Aeschylus

[1] Cf. Juvenal *Sat.* 3, 261 ff., where the household, unconscious of the tragedy of the master's sudden death,

> . . . interea secura patellas
> Iam lavat et bucca foculum excitat et sonat unctis
> Strigilibus et pleno componit lintea gutto!
> Haec inter pueros varie properantur: at ille
> Iam sedet in ripa tetrumque novicius horret
> Porthmea.

And Tennyson, *In Memoriam:*

> And, even when she turned, the curse
> Had fallen, and her future lord
> Was drowned in passing thro' the ford,
> Or killed in falling from his horse.

Cf. also in connexion with the context the citation of Virgil *Aen.* 11, 49–52, in W. P. Mustard's *Classical Echoes in Tennyson*, pp. 103–104.

[2] Michael Angelo, *Sonnet to Giorgio Vasari* (tr. by J. A. Symonds): cf. Aesch. *Septem* 860 *πάνδοκον εἰς ἀφανῆ τε χέρσον.*

[3] Cf. Bolderman's list (p. 133) of the dialogues in quibus Cynicorum doctrina cernitur.

has sketched in lines that "Time's effacing fingers" have not marred:

> O life of mortal men! while that it fareth well
> 'T is like a painting sketched; but, comes adversity,
> The wet sponge, blurring, touches and the picture 's gone![1]

The dialogue is full of humor, but this, like a fitful glare reflected in the night, only lights the way to the grim verities of Pluto's realm.[2] We forget Lucian's open scepticism and his mocking at current creeds, and we catch ourselves trying to fit this *memento mori* into the inherited mosaic of mediaeval Christianity rather than seeking to patch his Cynic's rags upon the changeable taffeta of his attempted Hedonism or the more durable fabric of the imperial Stoic's decent robe.

Over our heads float the Moirae. Clearly now we see the slender threads by which we dangle from their spindle. Clearly we see the shadowy phantoms with which they mock us: hopes, fears, ambitions, jealousy, wrath, and covetousness. Chilling, in spite of its comic reminiscence, falls upon our ears the swift résumé at the end: "Lord! what fools these mortals be! Kings, golden ingots, funeral rites, battles, but never a word about Charon!" — and we ourselves mechanically follow Charon to the ferry, our laughter, like his, turned into disappointed wonder at life's swift change from joy to sorrow.

The character of Charon of the true Greek type is constant as the "Ferryman." He is depicted, now with flowing beard, old and dignified as the Lord of the Admiralty, Poseidon himself, now younger and rougher with a stubby beard and a workman's short

[1] *Agam.* 1327 ff.: Cassandra as she goes in to her doom speaks:

> ἰὼ βρότεια πράγματ'· εὐτυχοῦντα μὲν
> σκιᾷ τις ἂν πρέψειεν· εἰ δὲ δυστυχῇ,
> βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.

[2] Cf. Croiset, pp. 169 ff.: "on n'y (i.e. in Epictetus or Marcus Aurelius) trouvera rien en ce genre qui fasse plus d'impression que certains passages des écrits de Lucien."

ἐξωμίς leaving the right shoulder bare for plying his pole.[1] He is never the figure of terror of the Italian types.[1] Representations in art are not infrequent; as on the λήκυθοι which were buried with the dead.[2]

It is thought that the conception of the "ferryman" grew out of the custom of burying the dead on the other side of a river or lake. This was not confined to the Egyptians,[3] but seems to have been *de rigueur* in various parts of Greece itself.[4] Virgil's Charon (*Aen.* 6, 298) retains this conception, but the type reverts rather to the distorted Etruscan demon of death (called *Charun*) with flaming eyes, pointed wolf-ears, and grin of horror, swinging his hammer or an oar. To him, through Virgil, Dante's Charon traces his pedigree:

> . . . the ferryman of the livid fen,
> Who round about his eyes had wheels of flame.
> . . . . . .
> Charon the demon, with the eyes of glede
> . . . . . .
> Beats with his oar whoever lags behind.[5]

This Etruscan demon was even pressed into service for the masked figure who, between the contests in the amphitheatre, dragged off the corpses of the fallen gladiators. This belongs to the conception, differing from the ancient Greek, which does not confine Charon's sphere of influence to a ferry-boat, but, ignoring Hermes's function as ψυχοπομπός, makes Charon the messenger of Death or identifies him with Death himself.

In the classic Greek Charon first appears in the post-Homeric *Minyad*,[6] though his running-mate, Hermes, appears as ψυχοπομπός in the last book of the *Odyssey*.

[1] See illustrations, s.v. "Charon," in Baumeister's *Denkmäler*. And in Daremberg et Saglio, s.v. "Charon," see cuts from Italian funeral urns. In one, Charon, with a large hammer, leads a horse upon which rides the dead man.

[2] Cf. Ar. *Eccles.* 996 ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.

[3] See Diod. Sicul. 1, 92 and 96.

[4] Chalcis in Euboea, and Delos; see Baumeister, l.c.

[5] *Div. Com.*, Canto III (Longfellow's translation).

[6] Cf. Paus. 10, 28, 2, and Frazer's note ad loc., and the restoration of Polygnotus's picture with Charon's boat.

In the *Septem* of Aeschylus the boat is mentioned, though Charon is not, and the mourners' arms that beat the air are the oar-strokes which make "the dark-sailed, unchartered mission-ship, upon whose deck Apollo treads not and the sunlight falls not, through Acheron to pass unto that shore unseen where all must lodging find." In the *Frogs* of Aristophanes Charon, with his: "ὠόπ! bring her alongside!" and his orders to Dionysus, treads his quarter-deck undisputed, and in Euripides we find him imperious, urgent, unrelieved by any comic humor. Alcestis, parting prematurely for Hades, exclaims:

> I see, I see the two-oar'd skiff, the ferryman
> Of the dead, Charon with hand on pole thus calleth me:
> "Why dost thou loiter? Hasten! Thou 'rt delaying us."
> With words like these in angry haste he urgeth me.

In the poets after Aeschylus he is often mentioned thus as calling[1] to embark. In the Anthology he appears frequently. In the Attic theatre he became a familiar bit of stage-property, and "Charon's stairs" now swept down to the water's edge of the *canali morti* to receive any furloughed ghosts returning in the ferryman's gondola.[2]

In addition to the representations of Charon on the oil-flasks, on scarabs, etc., there was a painting by Polygnotus which, as Pausanias thought, drew its details from the *Minyad*. (See the last note on the preceding page.)

From all this Lucian drew his type of Charon. Here and in the *Cataplus* and in the *Dialogues of the Dead* he incises the lines that are to reappear again and again in modern literature, as in Hans Sachs's *Die Himmelfahrt Margraff Albrechtz*.[3] It is curious that in

[1] Cf. Ar. *Lys.* 606:

> ὁ Χάρων σε καλεῖ,
> σὺ δὲ κωλύεις ἀνάγεσθαι.

[2] For conventional shape of Charon's boat see illustrations ll. cc.

[3] E.g. here is Lucian *resartus:*

> Da sagt zu im Caron: "Du solt
> Nit tretten in das schiff zu mir,
> Bis du geleget hast von dir
> All unart, sünd und untugent."

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

ΧΑΡΩΝ Η ΕΠΙΣΚΟΠΟΥΝΤΕΣ

ΕΡΜΗΣ ΚΑΙ ΧΑΡΩΝ

1 ΕΡΜ. Τί γελᾷς, ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπολιπὼν δεῦρο ἀνελήλυθας ἐς τὴν ἡμετέραν οὐ πάνυ εἰωθὼς ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν;

ΧΑΡ. Ἐπεθύμησα, ὦ Ἑρμῆ, ἰδεῖν ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ ἢ τίνων στερόμενοι πάντες οἰμώζουσι κατιόντες παρ' ἡμᾶς· οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. αἰτησάμενος οὖν παρὰ τοῦ Ἅιδου καὶ αὐτὸς ὥσπερ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος μίαν ἡμέραν λειπόνεως γενέσθαι ἀνελήλυθα ἐς τὸ φῶς, καί μοι δοκῶ ἐς δέον ἐντετυχηκέναι σοι· ξεναγήσεις γὰρ εὖ οἶδ' ὅτι με ξυμπερινοστῶν καὶ δείξεις ἕκαστα ὡς ἂν εἰδὼς ἅπαντα.

Title: the second part of the title is justified by the first sections of the piece, cf. especially § 5 *σὺ δὲ . . . ἐπισκόπει ἅπαντα*. Tr. *ἐπισκοποῦντες* as *Inspectors*; the Lat. tr. (Reitz.) contemplantes is inadequate. For the thought cf. *Hermot.* 5, where the philosopher's outlook on his fellow-man is described *οἷον μύρμηκας ἀπὸ τοῦ ὕψους ἐπισκοποῦντές τινας τοὺς ἄλλους*.

1. διέπλευσεν: gnomic aor. See Gildersleeve, *S.C.G.* 255. — **αἰτησάμενος . . . Ἅιδου**: cf. *Pisc.* 4 *παραιτησάμενος . . . τὸν Ἅιδην*. — **ὁ Θετταλός**: i.e. Protesilaus. Cf. Wordsworth's reminiscence). — **ὡς ἂν εἰδώς**: = *εἰδείης* *Laodamia*, and see *D. Mort.* 23. — **λειπόνεως** (L. & S. s.v. *λιπόναυς*): cf. Browning's "fleet-fugitive" (Aesch. *Agam.* 212). Hermes at the ferry (*Catapl.* 3), describing his chase after a runaway corpse, tells Charon how *ὀλίγου δεῖν λειπόνεως ὑμῖν τήμερον ἐγενόμην*. — **ξεναγήσεις**: *you'll show me the lions*; cf. *D. Mort.* 18, 1, and cf. Plato *Phaedr.* 230 c, where Socrates excites wonder as being in need of a cicerone and not like a native at all, *ἀτεχνῶς . . . ξεναγουμένῳ τινὶ καὶ οὐκ ἐπιχωρίῳ ἔοικας* (cf. *ἐπιχωριάζειν* of our passage for the

ΕΡΜ. Οὐ σχολή μοι, ὦ πορθμεῦ· ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διὶ τῶν ἀνθρωπικῶν· ὁ δὲ ὀξύθυμός ἐστι καὶ δέδια μὴ βραδύναντά με ὅλον ὑμέτερον ἐάσῃ εἶναι παραδοὺς τῷ ζόφῳ, ἢ ὅπερ τὸν Ἥφαιστον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, ὡς ὑποσκάζων γέλωτα παρέχοιμι καὶ αὐτὸς οἰνοχοῶν.

ΧΑΡ. Περιόψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς καὶ ταῦτα ἑταῖρος καὶ σύμπλους καὶ ξυνδιάκτορος ὤν; καὶ μὴν καλῶς εἶχεν, ὦ Μαίας παῖ, ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μηδεπώποτέ σε ἢ ἀντλεῖν ἐκέλευσα ἢ πρόσκωπον εἶναι· ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς ὥμους οὕτω καρτεροὺς ἔχων, ἢ εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ· ἐγὼ δὲ πρεσβύτης ὢν τὴν δικωπίαν ἐρέττω μόνος. ἀλλὰ πρὸς τοῦ πατρός, ὦ φίλτατον

γὰρ ἄν, cf. G. 1308; H. 987; Gl. 595; B. 662. — **τῷ ἄνω Διί**: to distinguish from *Ζεὺς καταχθόνιος*, i.e. Pluto; cf. *ἡμέτερε Ζεῦ* *D. Mort.* 23, 1, and cf. Reitz. ad loc. — **ὅλον**: *for good and all.* — **ῥίψῃ κτλ.**: from *Il.* 1, 591. — **παρέχοιμι**: for mood see Introd. 35 (*a*). — **καὶ αὐτός**: i.e. as well as Hephaestus; as if Zeus's chief thought was to keep up the supply of *lame* cup-bearers. — **οἰνοχοῶν**: perhaps *παρὰ προσδοκίαν* for *ψυχαγωγῶν*. — **ξυνδιάκτορος**: this compound is found only here (cf. Chabert, *L'Atticisme de Lucien*, p. 126). — **καλῶς εἶχεν**: *'t were well.* In such phrases, as after *ἔδει*, *ἐχρῆν* etc., without *ἄν*, the dependent infinitive becomes unreal (Gildersleeve, *S. C. G.* 364). Cf. GMT. 431. Cf. *Pisc.* 2 *ἄριστον ἦν . . . εὑρέσθαι.* — **ὦ Μαίας παῖ**: Charon began with plain "Hermes" and now tries everything that may appeal to his affection or pride of pedigree. — **μηδεπώποτε**: for neg. see Introd. 37. — **πρόσκωπον**: in *D. Mort.* 22, 2, Menippus urges his claim to passage as a "deadhead" because *τῆς κώπης συνεπελαβόμην.* — **ῥέγκεις**: so the exasperated Strepsiades (Ar. *Nub.* 5) must listen to his slaves:

οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ.

— **εἰ . . . εὕροις**: for syntax cf. Introd. 35 (*c*). — **λάλον**: such a talkative corpse is Menippus *D. Mort.* 22, 3 (q.v.). Cf., too, Lucian *Epigr.* No. 26:

εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, πῶς κατέβαινεν
Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;
θαῦμα μέν, εἰ σιγῶσα· τυχὸν δέ τι καὶ σὲ διδάσκειν
ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.

— **δικωπίαν**: cf. the two-oared skiff, *δίκωπον σκάφος* Eur. *Alc.* 252 and *ἑλάτᾳ*

Ἑρμάδιον, μὴ καταλίπῃς με, περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὥς τι καὶ ἰδὼν ἐπανέλθοιμι· ὡς ἤν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω· καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότει, οὕτω δὴ κἀγώ σοι ἔμπαλιν ἀμβλυώττω πρὸς τὸ φῶς. ἀλλὰ δός, ὦ Κυλλήνιε, ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν.

2 ΕΡΜ. Τοῦτο τὸ πρᾶγμα πληγῶν αἴτιον καταστήσεταί μοι· ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον. ὑπουργητέον δὲ ὅμως· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; πάντα μὲν οὖν σε ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν, ὦ πορθμεῦ· πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός, σὲ δὲ καὶ αὐτὸν κωλύσει ἐνεργεῖν τὰ τοῦ Θανάτου ἔργα ὡς καὶ τὴν Πλούτωνος ἀρχὴν ζημιοῦν μὴ νεκρα-
γωγοῦντα πολλοῦ τοῦ χρόνου· κᾆτα ὁ τελώνης Αἰακὸς

δικώπῳ 444. — **περιήγησαι**: as Menippus steps out of the boat, *D. Mort.* 20, 1, he exclaims πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακέ, περιήγησαί μοι τὰ ἐν Ἅιδου πάντα. See note on § 1. That the pestiferous modern guides had prototypes in Lucian's day may be inferred from the amusing conceit in *V. H.* B 31 (q.v.) and from our author's vicious thrust both at the περιηγηταί and their victims in *Philops.* 4: εἰ γοῦν τις ἀφέλοι τὰ μυθώδη ταῦτα ἐκ τῆς Ἑλλάδος, οὐδὲν ἂν κωλύσειε λιμῷ τοὺς περιηγητὰς αὐτῶν διαφθαρῆναι μηδὲ ἀμισθὶ τῶν ξένων τἀληθὲς ἀκούειν ἐθελησόντων (cf. Blümner, *Archaeol. Stud. zu Lucian*, p. 100). — **ἐπανέλθοιμι**: see Introd. 35 (*a*). — **διολισθαίνοντες**: both form and meaning vary slightly from classic use; see L. & S. and cf. *Pisc.* 30 διολισθάνοι, but in *Vit. Auct.* 12 διολισθάνων (as here) is used of a *tipsy tongue.*

2. **οὐκ ἀκόνδυλον**: litotes. Cf. the "knuckle sauce" served with the pudding, Ar. *Pax* 123, κολλύραν μεγάλην καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ, as a supplementary *pièce de résistance.* — **τί . . . πάθοι**: "what *is* (note καί) a fellow to do?" a favorite expression; cf. *Men.* 3; *D. Mort.* 10, 6; *Tim.* 39. — **κηρύττεσθαι . . . ἀποδράντα**: as Hermes was himself Zeus's town crier, this would be an anomalous situation. In *Fugit.* 27 Hermes makes proclamation for a lost slave. — **ὡς**: = ὥστε. We must insert this, or supply δεήσει again, or infer from κωλύσει = *compel not to* the positive *compel.* See App. — **ὁ τελώνης Αἰακός**: Aeacus is usually judge in the underworld. It is part of

ἀγανακτήσει μηδ' ὀβολὸν ἐμπολῶν. ὡς δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδοις, τοῦτο ἤδη σκεπτέον.

ΧΑΡ. Αὐτός, ὦ Ἑρμῆ, ἐπινόει τὸ βέλτιστον· ἐγὼ δὲ οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς ξένος ὤν.

ΕΡΜ. Τὸ μὲν ὅλον, ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν δεῖ χωρίου, ὡς ἀπ' ἐκείνου πάντα κατίδοις· σοὶ δὲ εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμνομεν· ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. ἐπεὶ δὲ οὐ θέμις εἰδώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διὸς, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν.

3 ΧΑΡ. Οἶσθα, ὦ Ἑρμῆ, ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς ἐπειδὰν πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην στεῖλαι ἢ ἐνδοῦναι ὀλίγον τοῦ ποδὸς ἢ συνεκδραμεῖν τῷ πνέοντι, ἐγὼ δὲ τὴν ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν· αὐτὸς γὰρ εἰδέναι τὸ βέλτιον. κατὰ ταὐτὰ δὴ καὶ σὺ πρᾶττε ὁπόσα καλῶς ἔχειν νομίζεις κυβερνήτης νῦν γε ὤν· ἐγὼ δέ, ὥσπερ

Lucian's method to raise an incidental or a fabricated function to the dignity of first importance. In *Catapl.* 4 the corpses do not go through in bond to Pluto without inspection, but Aeacus must, as custom officer, cross the ferry and proceed to the actual frontier of Hades, at the tunnel's mouth (κατ' αὐτὸ τὸ στόμιον), where he receives the invoiced corpses from Hermes and checks them off on the way-bill: ἐμοῦ τοὺς νεκρούς, ὡς ἔθος, ἀπαριθμοῦντος τῷ Αἰακῷ κἀκείνου λογιζομένου αὐτοὺς πρὸς τὸ παρὰ τῆς σῆς (Hermes is telling this to Clotho) ἀδελφῆς πεμφθὲν αὐτῷ σύμβολον. — **ὡς . . . ἴδοις**: for ὅπως and fut. indic. See Introd. 35(*a*). — **ἐκ περιωπῆς**: a favorite word; Germ. *Rundblick*. Cf. *Pisc.* 15, *Cronosol.* 18, and *Symp.* 11.

3. **καταιγίσαν**: *with a sudden squall.* — **πλαγίᾳ**: *so that it sets aslant*; the boats, it will be remembered (see Dict. Antiq. s.v. "Navis"), were square-rigged. For pred. use see Introd. 23(*a*). — **ἐνδοῦναι . . . ποδός**: *to let out the sheet a little.* — **συνεκδραμεῖν τῷ πνέοντι**: *to run before the wind.* Although unable to sail close in the wind's eye, ancient craft could make shift to lay a course. Charon's boat, apparently, insufficiently ballasted by his light-weight passengers, has heeled over so far as to scare them. — **ἐγὼ δὲ . . . ἡσυχίαν**: in

ἐπιβάταις νόμος, σιωπῇ καθεδοῦμαι πάντα πειθόμενος κελεύοντί σοι.

ΕΡΜ. Ὀρθῶς λέγεις· αὐτὸς γὰρ εἴσομαι τί ποιητέον καὶ ἐξευρήσω τὴν ἱκανὴν σκοπήν. ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος ἢ ὁ Παρνασσὸς ἢ ὑψηλότερος ἀμφοῖν ὁ Ὄλυμπος ἐκείνοσί; καίτοι οὐ φαῦλόν τι ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών· συγκαμεῖν δέ τι καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ.

ΧΑΡ. Πρόσταττε· ὑπουργήσω γὰρ ὅσα δυνατά.

ΕΡΜ. Ὅμηρος ὁ ποιητής φησι τοὺς Ἀλωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας, ἔτι παῖδας ἐθελῆσαί ποτε τὴν Ὄσσαν ἐκ βάθρων ἀναspάσαντας ἐπιθεῖναι τῷ Ὀλύμπῳ, εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἔξειν οἰομένους καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. ἐκείνω μὲν οὖν τῷ μειρακίῳ, ἀτασθάλῳ γὰρ ἦστην, δίκας ἐτισάτην· νῷ δέ — οὐ γὰρ ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν — τί οὐχὶ οἰκοδομοῦμεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ ἐπικυλινδοῦντες ἐπάλληλα τὰ ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν;

4 ΧΑΡ. Καὶ δυνησόμεθα, ὦ Ἑρμῆ, δύ' ὄντες ἀναθέσθαι ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν;

D. Mort. 10, 10, however, Hermes usurps command and gives the necessary orders: λῦε τὰ ἀπόγεια, τὴν ἀποβάθραν ἀνελώμεθα, τὸ ἀγκύριον ἀνεσπάσθω, πέτασον τὸ ἱστίον, εὔθυνε, ὦ πορθμεῦ, τὸ πηδάλιον. — **Καύκασος**: Hermes is ex officio an expert in matters topographical. As the context shows, however, the scene is laid near Olympus. Lucian is fond of panoramic suggestion, e.g. *Somn.* 15; *Icar.* 16; *Bis Acc.* 8; *Fugit.* 25. — **οὐ φαῦλόν τι**: *not a bad idea.* Litotes. — **Ἀλωέως**: the Aloeidae were named from their stepfather Aloeus, but received their mountain-moving propensities from their real father Poseidon, the earth-shaker. For their history see *Od.* 11, 305 ff. — **Ὄσσαν**: the Peneius drains the Thessalian plain through the vale of Tempe between Olympus and Ossa. Mt. Pelion is part of the ridge that on the other side of Ossa runs southward to the promontory of Sepias. — **ἔχοιμεν**: see Introd. 35 (*a*). — **ἀκριβεστέραν**: for pred. use see Introd. 23 (*a*).

4. **ἀναθέσθαι**: sc. ἐπὶ τὸν Ὄλυμπον. Cf. Xen. *Anab.* 2, 2, 4. Charon uses the word almost professionally as of his daily cargo. Hermes had used ἐπιθεῖναι

ΕΡΜ. Διὰ τί δ' οὐκ ἄν, ὦ Χάρων; ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν ἐκείνοιν, καὶ ταῦτα θεοὺς ὑπάρχοντας;

ΧΑΡ. Οὔκ, ἀλλὰ τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν.

ΕΡΜ. Εἰκότως· ἰδιώτης γὰρ εἶ, ὦ Χάρων, καὶ ἥκιστα ποιητικός· ὁ δὲ γεννάδας Ὅμηρος ἀπὸ δυοῖν στίχοιν αὐτίκα ἡμῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανόν, οὕτω ῥᾳδίως συνθεὶς τὰ ὄρη. καὶ θαυμάζω εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ τὸν Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτὸν εἷς ὢν φέρει ἀνέχων ἡμᾶς ἅπαντας. ἀκούεις δέ γε ἴσως καὶ τοῦ ἀδελφοῦ τοῦ ἐμοῦ πέρι τοῦ Ἡρακλέους, ὡς διαδέξαιτό ποτε αὐτὸν ἐκεῖνον τὸν Ἄτλαντα καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ.

ΧΑΡ. Ἀκούω καὶ ταῦτα· εἰ δὲ ἀληθῆ, σὺ ἄν, ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδείητε.

ΕΡΜ. Ἀληθέστατα, ὦ Χάρων. ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύδοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος καὶ ὁ ἀρχιτέκτων,

αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον.

c. dat. — **τοῖν βρεφυλλίοιν**: *that brace of little brats.* — **ἀπίθανόν τινα**: see on *Somn.* 1. — **ἰδιώτης**: *a layman*, i.e. not a professional. *ἰδιώτης* is contrasted with various words, e.g. Plato *Phaedr.* 258 D *ποιητὴς ἢ ἰδιώτης a poet or a prose-writer;* so Thuc. 2, 48 *ἰατρὸς ἢ ἰδιώτης*; cf. *Peregr.* 13; *Vit. Auct.* 11 and 27; *Pisc.* 10 and 34. — **ἀπὸ δυοῖν στίχοιν**: the dual almost gives the force of *with a distich.* The two verses are *Od.* 11, 315–316. — **ἀμβατόν**: for Ionic form see the Homeric citation below. — **ἀκούεις**: "The present tense of a number of verbs that involve unity of character or persistence of result, is often translated by the Eng. perfect." Gildersleeve, *S.C.G.* 204. — **ὑποθεὶς ἑαυτόν**: i.e. the eleventh labor of Heracles. — **αὐτάρ . . .**: see *Od.* 11, 315–316:

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατὸς εἴη.

ὁρᾷς ὅπως ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργάσμεθα. φέρ' οὖν ἀναβὰς ἴδω εἰ καὶ αὐτῷ ἐποικοδομεῖν δεήσει. παπαῖ, κάτω ἔτι ἐσμὲν ἐν ὑπωρείᾳ τοῦ οὐρανοῦ· ἀπὸ μὲν γὰρ τῶν ἑῴων μόγις Ἰωνία καὶ Λυδία φαίνεται, ἀπὸ δὲ τῆς ἑσπέρας οὐ πλέον Ἰταλίας καὶ Σικελίας, ἀπὸ δὲ τῶν ἀρκτῴων τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνον, κἀκεῖθεν ἡ Κρήτη οὐ πάνυ σαφῶς. μετακινητέα ἡμῖν, ὦ πορθμεῦ, καὶ ἡ Οἴτη, ὡς ἔοικεν, εἶτα ὁ Παρνασσὸς ἐπὶ πᾶσιν.

ΧΑΡ. Οὕτω ποιῶμεν. ὅρα μόνον μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον ἀπομηκύναντες πέρα τοῦ πιθανοῦ, εἶτα συγκαταρριφέντες αὐτῷ πικρᾶς τῆς Ὁμήρου οἰκοδομικῆς πειραθῶμεν ξυντριβέντες τῶν κρανίων.

ΕΡΜ. Θάρρει· ἀσφαλῶς γὰρ ἕξει ἅπαντα. μετατίθει τὴν Οἴτην· ἐπικυλινδείσθω ὁ Παρνασσός. ἰδοὺ δή, ἐπάνειμι αὖθις· εὖ ἔχει· πάντα ὁρῶ· ἀνάβαινε ἤδη καὶ σύ.

5. παπαῖ . . . ὑπωρείᾳ: *why, bless my soul! we are still down among the foot-hills of heaven.* In *Hermot.* 3 the middle-aged undergraduate admits that he is ἐν τῇ ὑπωρείᾳ κάτω ἔτι, and adds that the road is slippery (ὀλισθηρά) and one that calls for a helping hand (δεῖ χεῖρα ὀρέγοντος), which repeats the ὄρεξον . . . τὴν χεῖρα and τοῦ ὀλισθηροῦ of our passage below. — **ἀπὸ τῶν ἑῴων**: cf. App. to *Somn.* 15. It is just as well not to apply an accurate scale of miles to this περιωπή; but although (cf. Chabert, op. cit., p. 39) it is the Greek world of the sixth century B.C. with which we are mainly concerned, yet later on, with the help of two more mountains and another Homeric eye-opener, Charon sees not only Sardes and Samos, but also eastward, far beyond Lucian's birthplace, to Babylon. — **Ἰωνία**: i.e. the coast of Asia Minor between Caria and Aeolis. — **κἀκεῖθεν**: i.e. ἀπὸ (τῆς) μεσημβρίας. For designations of points of the compass cf. Hdt. 1, 142. — **οὕτω** κτλ.: Charon tries to live up to the naval discipline outlined in § 3. — **λεπτότερον**: compare this legitimate use of the predicate and the somewhat more strained πικρᾶς (just below) with the usage cited in Introd. 23 (*a*). — **πέρα τοῦ πιθανοῦ**: at the outset (§ 4) the scheme had seemed ἀπίθανον. — **τῶν κρανίων**: for both the catastrophe and the case of the noun, cf. Ar. *Pax* 69–71:

ἔπειτα λεπτὰ κλιμάκια ποιούμενος,
πρὸς ταῦτ' ἀνερριχᾶτ' ἂν εἰς τὸν οὐρανόν,
ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς.

The gen. is so used with κατέαγε *Ach.* 1180, *Vesp.* 1428. Schmid, I, 235, classifies this and *Tim.* 48 κατέαγα τοῦ κρανίου as a special form of the partitive genitive. — **ἰδοὺ δή**: *there now!* —

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

καὶ ἤρου γε ὅ τι γελῴην· ἀκούσας γάρ τινος ἤσθην ἐς ὑπερβολήν.

ΕΡΜ. Τί δὲ τοῦτο ἦν;

ΧΑΡ. Ἐπὶ δεῖπνον, οἶμαι, κληθείς τις ὑπό τινος τῶν φίλων ἐς τὴν ὑστεραίαν, Μάλιστα ἦξω, ἔφη, καὶ μεταξὺ λέγοντος ἀπὸ τοῦ τέγους κεραμὶς ἐμπεσοῦσα οὐκ οἶδ' ὅπως τοῦ οἰκήματος ἀπέκτεινεν αὐτόν. ἐγέλασα οὖν, οὐκ ἐπιτελέσαντος τὴν ὑπόσχεσιν. ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι, ὡς μᾶλλον βλέποιμι καὶ ἀκούοιμι.

7 ΕΡΜ. Ἔχ' ἀτρέμας· καὶ τοῦτο γὰρ ἐγὼ ἰάσομαί σοι καὶ ὀξυδερκέστατόν σε ἐν βραχεῖ ἀποφανῶ παρ' Ὁμήρου τινὰ καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβών, κἀπειδὰν εἴπω τὰ ἔπη, μέμνησο μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν.

ΧΑΡ. Λέγε μόνον.

ΕΡΜ. Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν, ὄφρ' εὖ γινώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.

τί ἐστιν; ἤδη ὁρᾷς;

ΧΑΡ. Ὑπερφυῶς γε· τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος ὡς πρὸς ἐμέ· ὥστε σὺ τὸ ἐπὶ τούτῳ προσδίδασκέ με καὶ ἀποκρίνου ἐρωτῶντι. ἀλλὰ βούλει κἀγὼ κατὰ τὸν Ὅμηρον

in pictures. — **ὅ τι γελῴην**: Hermes's words, § 1, were *τί γελᾷς*. — **κληθείς**: *bidden.* In *Gall.* 9, a poor shoemaker receives a contingent invitation to dinner; the host says, *σὺ ἀντ' ἐκείνου ἦκε λουσάμενος, ἢν μὴ ὅ γε κληθεὶς αὖθις εἴπῃ ἀφίξεσθαι, ὡς νῦν γε ἀμφίβολός ἐστι.* — **μεταξύ**: cf. note to *Somn.* 17. — **ἀπὸ τοῦ τέγους κεραμίς**: cf. *Light of Asia*, Book III:

> A snake's nip, half a span of angry steel,
> A chill, a fish-bone, or a falling tile,
> And life was over and the man is dead.

— **τοῦ οἰκήματος**: note the article; i.e. *the house* (before which you saw me standing). See App. — **οὐκ οἶδ' ὅπως**: see Introd. 29. — **ἐγέλασα**: *I burst into a laugh.* Ingressive aor. Gildersleeve, *S.C.G.* 239. — **ὑποκαταβήσεσθαι**: note force of *ὑπο-*, "I'll be going *a little* further down." Cf. on *Somn.* 4. — **βλέποιμι**: see Introd. 35 (*a*).

7. ἀποφανῶ: reddam. So used parallel with *ἀποδείκνυμι*, *Somn.* 8 (q.v.). — **μέμνησο μηκέτι**: a faith-cure. — **Ἀχλύν κτλ.**: words of Athena to Diomedes *Il.* 5, 127 ff. See App. Virgil recasts them *Aen.* 2, 604. In *Icar.* 14 Empedocles cures Icaromenippus's myopia by help of the eagle's wing. — **Λυγκεύς**:

ἐρήσομαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελέτητον ὄντα με τῶν Ὁμήρου;

ΕΡΜ. Καὶ πόθεν σὺ ἔχεις τι τῶν ἐκείνου εἰδέναι ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν;

ΧΑΡ. Ὁρᾷς; ὀνειδιστικὸν τοῦτο ἐς τὴν τέχνην. ἐγὼ δὲ ὁπότε διεπόρθμευον αὐτὸν ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος παρακούσας ἐνίων ἔτι μέμνημαι· καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατελάμβανεν. ἐπεὶ γὰρ ἤρξατο ᾄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας καὶ ἐτάραξε τὸν πόντον ὥσπερ τορύνην τινὰ ἐμβαλὼν τὴν τρίαιναν καὶ πάσας τὰς θυέλλας ὠρόθυνε καὶ ἄλλα πολλά, κυκῶν τὴν θάλατταν ὑπὸ τῶν ἐπῶν, χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν· ὅτε περ καὶ ναυτιάσας ἐκεῖνος ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ καὶ Χαρύβδει καὶ Κύκλωπι. οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμέτου ὀλίγα γοῦν διαφυλάττειν. εἰπὲ γάρ μοι·

τίς τ' ἄρ' ὅδ' ἐστὶ πάχιστος ἀνὴρ ἠύς τε μέγας τε,
ἔξοχος ἀνθρώπων κεφαλὴν καὶ εὐρέας ὤμους;

one of the Argonauts, the stock example (ἐκεῖνος) of far-sightedness, cf. *Icar.* 12. — **τῶν Ὁμήρου** (sc. ἐπῶν): (that not even I have neglected) *my Homer*. — **Ὁρᾷς**: see note on *Vit. Auct.* 4 and on *Peregr.* 45. — **οὐ πάνυ αἴσιον**: *boding no great luck*. — **ὥσπερ τορύνην τινά**: *like one of your soup-ladles*. Note Lucian's patchwork of *Od.* 5, 291 f.:

ὣς εἰπὼν σύναγεν νεφελάς, ἐτάραξε δὲ πόντον
χερσὶ τριαιναν ἑλών· πάσας δ' ὀρόθυνεν ἀέλλας.

— **ἀπήμεσε . . . ἐμέτου**: Galato, in the time (probably) of the early Ptolemies, made a picture of Homer sharing, in this wise, his good cheer with the starveling poets. Cf. the scholiast ad loc., ὅτι ὁ Γαλάτω ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυομένους. See Blümner, op. cit., p. 82, who cites this among other instances where Lucian had actual works of art in mind. Aeschylus used to describe his works as "scraps from Homer's table"; see Ath. 347 E.

8. **εἰπὲ γάρ**: resuming the thought interrupted at ἐρωτῶντι § 7. — **τίς τ' ἄρ' ὅδ'**: Lucian changes *Il.* 3, 226–227 by substituting ἐστὶ πάχιστος for ἄλλος Ἀχαιός and ἀνθρώπων for Ἀργείων. —

ΕΡΜ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. ἐπικροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος φέρει διὰ τοῦ σταδίου μέσου.

ΧΑΡ. Καὶ πόσῳ δικαιότερον ἂν ἐμέ, ὦ Ἑρμῆ, ἐπαινοῖεν, ὃς αὐτόν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν ἐνθήσομαι ἐς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς ὑπὸ τοῦ ἀναλωτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ Θανάτου, μηδὲ ξυνεὶς ὅπως αὐτὸν ὑποσκελίζει; κᾆτα οἰμώξεται ἡμῖν δηλαδὴ μεμνημένος τῶν στεφάνων τούτων καὶ τοῦ κρότου· νῦν δὲ μέγα φρονεῖ θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. τί δ' οὖν οἰηθῶμεν; ἆρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε;

ΕΡΜ. Πόθεν ἐκεῖνος θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ;

ΧΑΡ. Ἔα τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπόταν πλέῃ μηδ' ἐμπίδα ἡμῖν οὐχ ὅπως ταῦρον ἔτι ἄρασθαι δυνάμενος. σὺ δέ μοι ἐκεῖνο εἰπέ,

τίς τ' ἄρ' ὅδ' ἄλλος ὁ σεμνὸς ἀνήρ;

οὐχ Ἕλλην, ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς.

ΕΡΜ. Κῦρος, ὦ Χάρων, ὁ Καμβύσου, ὃς τὴν ἀρχὴν πάλαι Μήδων ἐχόντων νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι· καὶ

Μίλων: see Paus. 6, 14, 2. Milo flor. 511 B.C. and was a contemporary of Darius. By prophetic licence Charon sees him as contemporary of Cyrus the Great. — **ἐπικροτοῦσι**: Sbdt. sees in this a pun on Κρότων. — **τὸν ταῦρον**: *the* (well-known) *bull*. — **καταπαλαισθείς**: *floored*; this and *ὑποσκελίζει* remind Hermes, the god of the palaestra, that he had better get his sea-legs on before setting foot in Charon's boat. — **τεθνήξεσθαι**: mid. for act. See Schmid, I, 242. — **ἐμπίδα**: in Aesop's fable (No. 235) it is a *κώνωψ* that seats itself on the horn of the bull. "Milo," as Lucian seems to suggest, "in his palmy days could pick up the bull *αὐτῷ τῷ κώνωπι*, but now — !" — **οὐχ ὅπως**: *let alone*. See L. & S. s.v. *ὅπως* II, 2.

9. **Ἕλλην . . . στολῆς**: in *V.H.* A 11 Endymion concludes that his prisoners are Greeks, *making a guess from their garb* (*ἀπὸ τῆς στολῆς*). — **Κῦρος**: i.e. Cyrus the Great, who died 529 B.C. —

Ἀσσυρίων δ' ἔναγχος οὗτος ἐκράτησε καὶ Βαβυλῶνα παρεστήσατο καὶ νῦν ἐλασείοντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς καθελὼν τὸν Κροῖσον ἄρχοι ἁπάντων.

ΧΑΡ. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν;

ΕΡΜ. Ἐκεῖσε ἀπόβλεψον ἐς τὴν μεγάλην ἀκρόπολιν τὴν τὸ τριπλοῦν τεῖχος· Σάρδεις ἐκεῖναι, καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμενον. βούλει ἀκούσωμεν αὐτῶν ὅ τι καὶ λέγουσι;

ΧΑΡ. Πάνυ μὲν οὖν.

ΚΡΟΙΣ. Ὦ ξένε Ἀθηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον καὶ τοὺς θησαυροὺς καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν καὶ τὴν ἄλλην πολυτέλειαν, εἰπέ μοι, τίνα ἡγῇ τῶν ἁπάντων ἀνθρώπων εὐδαιμονέστατον εἶναι.

ΧΑΡ. Τί ἄρα ὁ Σόλων ἐρεῖ;

ΕΡΜ. Θάρρει· οὐδὲν ἀγεννές, ὦ Χάρων.

ΣΟΛ. Ὦ Κροῖσε, ὀλίγοι μὲν οἱ εὐδαίμονες· ἐγὼ δὲ ὧν οἶδα Κλέοβιν καὶ Βίτωνα ἡγοῦμαι εὐδαιμονεστάτους γενέσθαι, τοὺς τῆς ἱερείας παῖδας τῆς Ἀργόθεν.

τὴν τὸ τριπλοῦν τεῖχος: see Introd. 30. —**Κροῖσον . . . Σόλωνι . . . διαλεγόμενον**: the conversation as told by Hdt. 1, 29 ff. seems to be chronologically impossible; see Abicht, Sayce, or Stein ad loc. and Abicht on Hdt. 6, 125. Plutarch, however (*Sol.* 27) thinks the story too good not to be true; and Lucian, also indifferent to chronology, improves on it by inventing a miniature Socratic dialogue.

10. εἶδες γάρ: the γάρ, as often, anticipates the leading sentence; here εἰπέ μοι. —**ἄσημος χρυσός**: *bullion*, as distinguished from χρυσίον *coin*, *plate*, etc. But we also find χρυσίον ἄσημον in Thuc. 2, 13 of the ἀναθήματα, etc. —**τὴν ἄλλην πολυτέλειαν**: *the rest of my sumptuous establishment*. —**Κλέοβιν καὶ Βίτωνα**: Tellus is usually mentioned first. In Hdt. 1, 31 the young men, in default of the oxen, draw their mother, the priestess, to the Heraeum (more than five miles distant and up a hill). In answer to the prayer of their proud and grateful mother the goddess grants them her best gift — death. Falling asleep in the sacred precinct, they pass straight from the Heraeum to heaven. Cf. William Watson's *Keats:*

> . . . in recompense sublime,
> The gods, alas! gave him their *fatal love*.

For the Argivo Heraeum, excavated by the American School, see *The Argive*

ΧΑΡ. Φησὶν οὗτος τοὺς ἅμα πρῴην ἀποθανόντας, ἐπεὶ τὴν μητέρα ὑποδύντες εἵλκυσαν ἐπὶ τῆς ἁπήνης ἄχρι πρὸς τὸ ἱερόν.

ΚΡΟΙΣ. Ἔστω· ἐχέτωσαν ἐκεῖνοι τὰ πρῶτα τῆς εὐδαι-
220 μονίας. ὁ δεύτερος δὲ τίς ἂν εἴη;

ΣΟΛ. Τέλλος ὁ Ἀθηναῖος, ὃς εὖ τε ἐβίω καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος.

ΚΡΟΙΣ. Ἐγὼ δέ, ὦ κάθαρμα, οὔ σοι δοκῶ εὐδαίμων εἶναι;

225 ΣΟΛ. Οὐδέπω οἶδα, ὦ Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀφίκῃ τοῦ βίου· ὁ γὰρ θάνατος ἀκριβὴς ἔλεγχος τῶν τοιούτων καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως διαβιῶναι.

ΧΑΡ. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέλησαι, ἀλλὰ παρὰ τὸ πορθμεῖον αὐτὸ ἀξιοῖς γίνεσθαι τὴν περὶ τῶν
11 τοιούτων κρίσιν. ἀλλὰ τίνας ἐκείνους ὁ Κροῖσος ἐκπέμπει
230 ἢ τί ἐπὶ τῶν ὤμων φέρουσι;

ΕΡΜ. Πλίνθους τῷ Πυθίῳ χρυσᾶς ἀνατίθησι μισθὸν τῶν χρησμῶν, ὑφ' ὧν καὶ ἀπολεῖται μικρὸν ὕστερον· φιλόμαντις δὲ ὁ ἀνὴρ ἐκτόπως.

Heraeum, by Charles Waldstein.—**ὑποδύντες**: Hdt. adds ὑπὸ τὴν ζεύγλην: Plutarch (l.c.) ὑποδύντες τῷ ζυγῷ (the Attic word). — **τίς ἂν εἴη**: *who* (in that case) *might the second one be?* — **Τέλλος**: see Hdt. 1, 30; he saw his children's children, his country prospering, and, well-to-do himself, died in her defence and was honored with public burial where he fell.—**κάθαρμα**: *you scum of the earth!* Cf. Dict. Antiq. s.v. "Lustratio."— **τὸ τέλος . . . εὐδαιμόνως διαβιῶναι**: a favorite idea. Solon's words (Hdt. 1, 32) are, σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται. The gloomy finale of Soph. *O. T.* (1529–1530) is,

. . . μηδέν' ὀλβίζειν, πρὶν ἄν
τέρμα τοῦ βίου περάσῃ μηδὲν ἀλγεινὸν
παθών.

And in Aesch. *Agam.* 928:

ὀλβίσαι δὲ χρή
βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ.

So Schiller, *Wall. Tod*, v, 4: "Man soll den Tag nicht vor dem Abend loben." —**ἀκριβὴς ἔλεγχος**: so, in *D. Mort.* 21, 2, Cerberus asserts that even Socrates was bold up to the entrance only, τὰ δ' ἔνδοθεν ἔλεγχος ἀκριβής. — **γίνεσθαι**: for form, see Introd. 40.

11. Πλίνθους: in Hdt. they are ἡμιπλίνθια. — **φιλόμαντις**: *daft on divina-*

ΧΑΡ. Ἐκεῖνο γάρ ἐστιν ὁ χρυσός, τὸ λαμπρὸν ὃ ἀποστίλβει, τὸ ὕπωχρον μετ' ἐρυθήματος; νῦν γὰρ πρῶτον εἶδον ἀκούων ἀεί.

ΕΡΜ. Ἐκεῖνο, ὦ Χάρων, τὸ ἀοίδιμον ὄνομα καὶ περιμάχητον.

ΧΑΡ. Καὶ μὴν οὐχ ὁρῶ ὅ τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰ μὴ ἄρα ἕν τι μόνον, ὅτι βαρύνονται οἱ φέροντες αὐτό.

ΕΡΜ. Οὐ γὰρ οἶσθα ὅσοι πόλεμοι διὰ τοῦτο καὶ ἐπιβουλαὶ καὶ λῃστήρια καὶ ἐπιορκίαι καὶ φόνοι καὶ δεσμὰ καὶ πλοῦς μακρὸς καὶ ἐμπορίαι καὶ δουλεῖαι;

ΧΑΡ. Διὰ τοῦτο, ὦ Ἑρμῆ, τὸ μὴ πολὺ τοῦ χαλκοῦ διαφέρον; οἶδα γὰρ τὸν χαλκόν, ὀβολόν, ὡς οἶσθα, παρὰ τῶν καταπλεόντων ἑκάστου ἐκλέγων.

ΕΡΜ. Ναί· ἀλλὰ ὁ χαλκὸς μὲν πολύς, ὥστε οὐ πάνυ σπουδάζεται ὑπ' αὐτῶν· τοῦτον δὲ ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι· πλὴν ἀλλὰ ἐκ γῆς καὶ οὗτος ὥσπερ ὁ μόλυβδος καὶ τὰ ἄλλα.

ΧΑΡ. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀβελτερίαν, οἳ τοσοῦτον ἔρωτα ἐρῶσιν ὠχροῦ καὶ βαρέος κτήματος.

ΕΡΜ. Ἀλλὰ οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾶν αὐτοῦ φαίνεται, ὡς ὁρᾷς· καταγελᾷ γὰρ τοῦ Κροίσου καὶ τῆς μεγαλαυχίας τοῦ βαρβάρου, καί μοι δοκεῖν ἐρέσθαι τι βούλεται αὐτόν· ἐπακούσωμεν οὖν.

12 ΣΟΛ. Εἰπέ μοι, ὦ Κροῖσε, οἴει γάρ τι δεῖσθαι τῶν πλίνθων τούτων τὸν Πύθιον;

tion. — **ὕπωχρον**: *palish yellow.* In *Fugit.* 27, of a slave, *somewhat sallow.* — **ἀοίδιμον**: *storied.* — **πλοῦς μακρός**: *long voyaging.* In this list of plurals the singular (in all Mss.) seems like an interloper. — **ὀβολόν**: for Charon's fee cf. *D. Mort.* 22 et passim. For survival of this, cf. the pennies put by old crones on the eyes of a corpse. — **πολύς**: *plentiful.* See L. & S. s.v., I, 2, c. — **πλὴν ἀλλά**: see Introd. 24 (*a*). — **ἀβελτερίαν**: *fatuity.* For brachylogy see on *Somn.* 1. — **τοσοῦτον ἔρωτα ἐρῶσιν**: *have such a passionate love for.*

ΚΡΟΙΣ. Νὴ Δία· οὐ γάρ ἐστιν αὐτῷ ἐν Δελφοῖς ἀνάθημα οὐδὲν τοιοῦτον.

ΣΟΛ. Οὐκοῦν μακάριον οἴει τὸν θεὸν ἀποφανεῖν εἰ κτήσαιτο ἐν τοῖς ἄλλοις καὶ πλίνθους χρυσᾶς;

ΚΡΟΙΣ. Πῶς γὰρ οὔ;

ΣΟΛ. Πολλήν μοι λέγεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτούς, ἢν ἐπιθυμήσωσι.

ΚΡΟΙΣ. Ποῦ γὰρ τοσοῦτος ἂν γένοιτο χρυσὸς ὅσος παρ' ἡμῖν;

ΣΟΛ. Εἰπέ μοι, σίδηρος δὲ φύεται ἐν Λυδίᾳ;

ΚΡΟΙΣ. Οὐ πάνυ τι.

ΣΟΛ. Τοῦ βελτίονος ἄρα ἐνδεεῖς ἐστε.

ΚΡΟΙΣ. Πῶς ἀμείνων ὁ σίδηρος χρυσίου;

ΣΟΛ. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν, μάθοις ἄν.

ΚΡΟΙΣ. Ἐρώτα, ὦ Σόλων.

ΣΟΛ. Πότεροι ἀμείνους οἱ σῴζοντές τινας ἢ οἱ σῳζόμενοι πρὸς αὐτῶν;

ΚΡΟΙΣ. Οἱ σῴζοντες δηλαδή.

ΣΟΛ. Ἆρ' οὖν, ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσῃ τῷ στρατῷ ἢ ὁ σίδηρος ἀναγκαῖος τότε;

ΚΡΟΙΣ. Ὁ σίδηρος δῆλον ὅτι.

12. ἀνάθημα: for these Delphic anathemata see Frazer on Paus. 10, 9, 2 ff. — **ἀποφανεῖν**: see Introd. 35 (*c*). — **Πῶς γὰρ οὔ**; a frequent formula of asseveration in Plato. For Platonic reminiscence note the particles throughout the context. — **Πολλὴν πενίαν**: Socrates, Plato *Apol.* 23 c, says: *ἐν πενίᾳ μυρίᾳ εἰμί*. — **σίδηρος δέ**: if *εἰπέ μοι* is construed parenthetically, the *δέ* marks a natural contrast to the *χρυσός* in the preceding question. — **φύεται**: *is produced*. *φύω* thus used of inanimate things reverts to the meaning of the Skt. stem *bhū* 'become'; 'arise.' — **μηδὲν ἀγανακτῶν**: perhaps a reminiscence of Thrasymachus chafing under Socrates's questions, Plato *Rep.* 338 D ff., and especially 354 A *ἐπειδή μοι πρᾶος ἐγένου καὶ χαλεπαίνων ἐπαύσω*. — **μάθοις ἄν**: see GMT. 505. — **Ἐρώτα**: *go on with your inquisition*. — **λογοποιοῦσι**:

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

Κύρου ἀναχθῆναι· ἤκουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγινωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα, ἐν οἷς καὶ ταῦτα ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν ὑπ' ἐκεινησὶ τῆς Μασσαγέτιδος ἀποθανεῖν. ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τούτου τοῦ λευκοῦ ἐξελαύνουσαν;

ΧΑΡ. Νὴ Δία.

ΕΡΜ. Τόμυρις ἐκείνη ἐστί, καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν· οὗτος βασιλεύσει μετὰ τὸν πατέρα καὶ μυρία σφαλεὶς ἔν τε τῇ Λιβύῃ καὶ Αἰθιοπίᾳ τὸ τελευταῖον μανεὶς ἀποθανεῖται ἀποκτείνας τὸν Ἆπιν.

ΧΑΡ. Ὦ πολλοῦ γέλωτος. ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος; ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀναδίδωσι

the gifts sent to Delphi, bears them away to dwell among the Hyperboreans. — **ἤκουσα**: often, as here, *ἀναγιγνώσκω* is used of reading aloud, but in *Philops.* 25 we find Pluto *ἐπιλεγόμενος τῶν τεθνηξομένων τὰ ὀνόματα*. — **τῆς Κλωθοῦς**: the respective functions of the Spinsters Three are given by Plato in *Rep.* 617 c. Lachesis sings *τὰ γεγονότα*, Clotho *τὰ ὄντα*, and Atropos *τὰ μέλλοντα*, but Clotho is apt to assume the rôles of all three. See especially the account in *Catapl.* 1–16. — **τὰ . . . ἐπικεκλωσμένα**: *what has been spun out for each.* Note tense here and in *ἐγέγραπτο*: each man's fate is "sealed and signed" even if not yet "delivered." — **Τόμυρις**: cf. Hdt. 1, 205–214. — **μυρία σφαλείς**: *after meeting with no end of disasters*, e.g. the loss of his army sent to reduce the Ethiopians. Hdt. 3, 25. — **Ἆπιν**: for the "marks" of the sacred calf, his epiphany during the stay of Cambyses in Egypt, his death from the wound inflicted by Cambyses, etc., see Hdt. 3, 27–29. — **Ὦ πολλοῦ γέλωτος**: *oh, what lots of fun!* For gen. cf. note to *Vit. Auct.* 13. — **προσβλέψειεν**: Reitz. tr. At nunc quis eos aspicere sustineat?

14. ὁ τὸ διάδημα: see Introd. 30. — **ὁ μάγειρος**: the *chef*. The functions of *cook* and *butcher* were combined even in Polycrates's establishment. — **ἀναδί-**

320 τὸν ἰχθὺν ἀνατεμών,

νήσῳ ἐν ἀμφιρύτῃ; βασιλεὺς δέ τις εὔχεται εἶναι.

ΕΡΜ. Εὖ γε παρῳδεῖς, ὦ. Χάρων. ἀλλὰ Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον πανευδαίμονα ἡγούμενον εἶναι ἀτὰρ καὶ οὗτος αὐτὸς ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιαν-
325 δρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ ἀνασκολοπισθήσεται ἄθλιος ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου· καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα.

ΧΑΡ. Ἄγαμαι Κλωθοῦς· γεννικῶς καῖ' αὐτούς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμνε καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν
330 ἄνθρωποι ὄντες· ἐν τοσούτῳ δὲ ἐπαιρέσθων ὡς ἂν ἀφ' ὑψηλοτέρου ἀλγεινότερον καταπεσούμενοι. ἐγὼ δὲ γελάσομαι τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ μήτε τὴν πορφυρίδα μήτε τιάραν ἢ κλίνην χρυσῆν κομίζοντας.

15 ΕΡΜ. Καὶ τὰ μὲν τούτων ὧδε ἔξει. τὴν δὲ πληθὺν ὁρᾷς,
335 ὦ Χάρων, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς

δωσι: *restores.* See Hdt. 3, 41 ff., for story of Polycrates. — **νήσῳ κτλ.**: the parody is a combination of *Od.* 1, 50 and 5, 450. — **ἀνασκολοπισθήσεται**: a favorite Oriental punishment. That this word means also *crucify* is best seen in *Jud. Vocal.* 12 *μιμησαμένους αὐτοῦ* (i.e. the letter T) *τὸ πλάσμα ἔπειτα σχήματι τοιούτῳ ξύλα τεκτήναντας ἀνθρώπους ἀνασκολοπίζειν ἐπ' αὐτά.* Cf. also the references to the Crucifixion in *Peregr.* 11 and 13. — **ἐκπεσὼν τῆς εὐδαιμονίας**: Oedipus is a stock illustration. Cf. Soph. *O. T.* 1189 ff.:

τίς γάρ, τίς ἀνὴρ πλέον
τᾶς εὐδαιμονίας φέρει
ἢ τοσοῦτον ὅσον δοκεῖν
καὶ δόξαντ' ἀποκλῖναι;

Cf. Aesch. *Agam.* 1327 ff., supra, p. 20, note 1. — **καὶ ταῦτα γάρ**: (don't be surprised at my knowing so much,) *for this also*, etc. — **Ἄγαμαι Κλωθοῦς**: *Clotho's the one for me! Give them, my dear lady, a royal scorching.* For defence of **ἄγαμαι** etc. see Fritzsche ad loc., who compares amabo te, *I entreat you;* but his best illustration is from Aristophanes *Ach.* 485–488: *ὦ τάλαινα καρδία . . . τόλμησον . . . ἄγαμαι καρδίας.* — **καῖ' αὐτούς . . . ἀπότεμνε . . . ἀνασκολόπιζε** refer respectively to Croesus on the pyre, the death of Cyrus, and that of Polycrates. — **γυμνόν**: cf. *D. Mort.* 10, where the embarking passengers are stripped of their fortunes and their fat, their pride of pedigree, their beards and baggage. — **μήτε . . . μήτε**: for **οὔτε**: see Introd. 39 (*e*).

δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντάς, τοὺς προσαιτοῦντας;

ΧΑΡ. Ὁρῶ ποικίλην τινὰ τὴν διατριβὴν καὶ μεστὸν ταραχῆς τὸν βίον καὶ τὰς πόλεις γε αὐτῶν ἐοικυίας τοῖς σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει καὶ τὸν πλησίον κεντεῖ, ὀλίγοι δέ τινες ὥσπερ σφῆκες ἄγουσι καὶ φέρουσι τὸ ὑποδεέστερον. ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τἀφανοῦς οὗτος ὄχλος τίνες εἰσίν;

ΕΡΜ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα καὶ ἄγνοιαι καὶ ἡδοναὶ καὶ φιλαργυρίαι καὶ ὀργαὶ καὶ μίση καὶ τὰ τοιαῦτα. τούτων δὲ ἡ ἄγνοια μὲν κάτω ξυναναμέμικται αὐτοῖς καὶ ξυμπολιτεύεταί γε νὴ Δία καὶ τὸ μῖσος καὶ ἡ ὀργὴ καὶ ζηλοτυπία καὶ ἀμαθία καὶ ἀπορία καὶ φιλαργυρία, ὁ φόβος δὲ καὶ αἱ ἐλπίδες ὑπεράνω πετόμενοι ὃ μὲν ἐμπίπτων ἐκπλήττει, ἐνίοτε καὶ ὑποπτήσσειν ποιεῖ, αἱ δ' ἐλπίδες ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπόταν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀναπτάμεναι οἴχονται κεχηνότας αὐτοὺς ἀπολιποῦσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος. ἢν δὲ ἀτενίσῃς, κατόψει καὶ τὰς Μοίρας ἄνω ἐπικλωθούσας

15. δικαζομένους: this was a usual hit at the Athenians. So Strepsiades (Ar. *Nub.* 208) cannot believe that he sees Athens on the map *ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους*. In *Ioar.* 16 the kingdoms of men and their manners are seen from above: *τοὺς Αἰγυπτίους γεωργοῦντας ἐπέβλεπον, καὶ ὁ Φοῖνιξ δὲ ἐνεπορεύετο καὶ ὁ Κίλιξ ἐλῄστευε καὶ ὁ Λάκων ἐμαστιγοῦτο καὶ ὁ Ἀθηναῖος ἐδικάζετο*. — **ποικίλην**: *motley, ever-shifting*. The meaning shifts from the purely external, e.g. Joseph's many-colored coat (Gen. 37, 23 *τὸν χιτῶνα τὸν ποικίλον*), to the subtlety of Prometheus (Aesch. *Prom.* 308 *καίπερ ὄντι ποικίλῳ*). — **κέντρον . . . σφῆκες**: the *Wasps* of Aristophanes ridicules the abuses in the Athenian law-courts. — **ἄγουσι καὶ φέρουσι**: cf. Lat. agere et ferre. — **Ἐλπίδες**: the one solitary blessing is named first — that one saved in Pandora's jar. For the plurals see Introd. 22. — **κεχηνότας**: the ever-recurring thought. Cf. Aesch. *Agam.* 421 ff.: "Beside him fancies stand that bring vain joy, aye, vain — for, when one thinketh to behold what 's good, the vision, slipping through his hands, is gone, or e'er it hath appeared, with wings that company on the paths of sleep."

16. τὰς Μοίρας ἄνω ἐπικλωθούσας: see the elaborate description in Plato *Rep.* 617 c (see above, § 13). The pious Pausanias (1, 40, 3), describing the "Hours" and the "Fates" in the air

ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ λεπτῶν νημάτων. ὁρᾷς καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων;

ΧΑΡ. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλά, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ.

ΕΡΜ. Εἰκότως, ὦ πορθμεῦ· εἵμαρται γὰρ ἐκείνῳ μὲν ὑπὸ τούτου φονευθῆναι, τούτῳ δὲ ὑπ' ἄλλου, καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκείνου, ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα, ἐκεῖνον δὲ αὖ τούτου· τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. ὁρᾷς δ' οὖν ἀπὸ λεπτοῦ κρεμαμένους ἅπαντας; καὶ οὗτος μὲν ἀνασπασθεὶς ἄνω μετέωρός ἐστι καὶ μετὰ μικρὸν καταπεσών, ἀπορραγέντος τοῦ λίνου, ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον ἐργάσεται, οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ κείσεται, μόλις καὶ τοῖς γείτοσιν ἐξακουσθέντος τοῦ πτώματος.

ΧΑΡ. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ.

17 ΕΡΜ. Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων, καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν καὶ τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι

above the statue of Zeus Μοιραγέτης in the temple at Megara, is careful to explain δῆλα δὲ πᾶσι τὴν Περσωμένην μόνῳ οἱ (Zeus) πείθεσθαι. — **τὸν ἄτρακτον** κτλ.: (spinning) *their spindle from which* (are suspended) *by threads*. Hence ἄτρακτος does not here mean *thread* (as Schmid, I, 391, takes it) but, as the Eng. *spindle* may mean a given length (e.g. a spindle of cotton is 18 hanks or 15,120 yards), so we find in *Catapl.* 7 σχεδὸν γὰρ ὅλον μοι τὸν ἄτρακτον ἐπέκλωσας *thou hast almost spun out for me the whole spindle*. Either meaning would be possible in *Jupp. Conf.* 19 κλώθων ἄτρακτον τοσούτων πραγμάτων μεστόν. Cf. Dict. Antiq. s.v. "Fusus." The association of the Skt. *tarkú* 'spindle' with Lat. torqueo and τρέπω suggests the probable derivation (*alpha copulativum*) for the Spinster Atropos. — **τὰ πολλά**: the article is unusual (cf. Schmid, I, 234, for examples). — **ἀψοφητὶ κείσεται**: κείσεται is used in a pregnant sense, *will fall and lie there* (*and never a sound will have been heard*). It would be more logical to have πεσεῖται (see App.), but it is hardly necessary; cf. too, in *Jud. Vocal.* 2 (where Sigma fears that he will turn into a mere ψόφος), the expression ἐν ἴσῳ δὲ κεῖσθαι τοῦ ψόφου.

ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου Θανάτου. ἄγγελοι δὲ καὶ ὑπηρέται αὐτοῦ μάλα πολλοί, ὡς ὁρᾷς, ἠπίαλοι καὶ πυρετοὶ καὶ φθόαι καὶ περιπνευμονίαι καὶ ξίφη καὶ λῃστήρια καὶ κώνεια καὶ δικασταὶ καὶ τύραννοι· καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται ἔστ' ἂν εὖ πράττωσιν, ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀττοτοῖ καὶ αἰαῖ καὶ οἴμοι. εἰ δὲ εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν ὅτι θνητοί τέ εἰσιν αὐτοὶ καὶ ὀλίγον τοῦτον χρόνον ἐπιδημήσαντες τῷ βίῳ ἀπίασιν ὥσπερ ἐξ ὀνείρατος πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον καὶ ἧττον ἠνιῶντο ἀποθανόντες· νῦν δὲ εἰς ἀεὶ ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης καλῇ καὶ ἀπάγῃ πεδήσας τῷ πυρετῷ ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγὴν οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. ἢ τί γὰρ οὐκ ἂν ποιήσειεν ἐκεῖνος ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι ὅτι ἢ μὲν ἕξει τέλος αὐτῷ, ὁ δὲ ἄρτι ἐπιθεὶς τὸν ὄροφον ἄπεισι τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μηδὲ δειπνήσας. ὁ ἄθλιος ἐν αὐτῇ; ἐκεῖνος μὲν γὰρ ὁ χαίρων ὅτι ἄρρενα παῖδα τέτοκεν αὐτῷ ἡ γυνή, καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο ὡς ἑπτέτης γενόμενος ὁ παῖς

17. **τοῦ βελτίστου Θανάτου**: *my excellent* (*colleague*) *Sir Death.* — **κώνεια**: e.g. the execution of Socrates. And cf. Lys. 12, 17 παρήγγειλαν οἱ τριάκοντα τὸ ἐπ' ἐκείνων εἰθισμένον παράγγελμα, πίνειν κώνειον· — **πολὺ τὸ . . . οἴμοι**: *thick and fast come the woe! woe's! and the oh! oh's! and the ah me's!* — **ὀλίγον . . . ἐπιδημήσαντες τῷ βίῳ**: *after this brief sojourn in life:* contrast with Plato's *Apol.* 40 E εἰ δ' αὖ οἷον ἀποδημῆσαί ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον. — **ἐπιστὰς ὁ ὑπηρέτης**: so comes to Socrates the executioner, *Phaedo* 116 B. ἦκεν ὁ'τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτόν. Here it is one of the ὑπηρέται . . . πολλοί just mentioned. — **ἀποσπασθήσεσθαι αὐτῶν**: *from them*, i.e. τῶν παρόντων. — **μηδέ**: for οὐδέ: see Introd. 39 (*e*). — **δειπνήσας**: of the house-warming. — **τοῦ πατρός**: (giving it) *his father's name*, i.e. of the grandfather. Cf. Ar. *Nub.* 65. To mean the name of the boy's father the refl. gen. would have been used instead of τοῦ πατρός. This was also done, e.g. Δημοσθένης

τεθνήξεται, ἆρα ἄν σοι δοκεῖ χαίρειν ἐπ' αὐτῷ γεννωμένῳ;
ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον
ὁρᾷ τὸν τοῦ ἀθλητοῦ πατέρα τοῦ Ὀλύμπια νενικηκότος, τὸν
γείτονα δὲ τὸν ἐκκομίζοντα τὸ παιδίον οὐχ ὁρᾷ οὐδὲ οἶδεν
ἀφ' οἵας αὐτῷ κρόκης ἐκρέματο. τοὺς μὲν γὰρ περὶ τῶν
ὄρων διαφερομένους ὁρᾷς ὅσοι εἰσί, καὶ τοὺς συναγείρον-
τας τὰ χρήματα, εἶτα, πρὶν ἀπολαῦσαι αὐτῶν, καλουμένους
ὑφ' ὧν εἶπον τῶν ἀγγέλων τε καὶ τῶν ὑπηρετῶν.

18 ΧΑΡ. Ὁρῶ ταῦτα πάντα καὶ πρὸς ἐμαυτόν γε ἐννοῶ ὅ τι
τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερόμενοι
ἀγανακτοῦσιν. ἦν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ
εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω τοῦ ἀβεβαίου καὶ ὡς
φῂς ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ
εὑρήσει προσόντα αὐτοῖς, φόβους καὶ ταραχὰς καὶ μίση καὶ
ἐπιβουλὰς καὶ ὀργὰς καὶ κολακείας· τούτοις γὰρ ἅπαντες
ξύνεισιν. ἐῶ πένθη καὶ νόσους καὶ πάθη ἐξ ἰσοτιμίας
δηλαδὴ ἄρχοντα αὐτῶν· ὅπου δὲ τὰ τούτων πονηρά, λογί-
10 ζεσθαι καιρὸς οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη. ἐθέλω δ' οὖν σοι,
ὦ Ἑρμῆ, εἰπεῖν ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι καὶ
ὁ βίος ἅπας αὐτῶν. ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω
ὑπὸ κρουνῷ τινι καταράττοντι ἀνισταμένας; τὰς φυσαλίδας
λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός· ἐκείνων τοίννυν αἱ μέν

Δημοσθένους. For the christening festival celebrated on the tenth day see Gulick, p. 73. — **νενικηκότος**: *famed as victor;* note tense. For the fame accruing to family and to native place as well, see the serenade to Lachon, Bacchyl. 6, Κέον εὐκλέιξας. — **ἐκκομίζοντα**: i.e. to his burial. The classical word is ἐκφέρω, and this is retained in Acts 5, 6–10.

18. **παρὰ τὸν βίον**: *in* (*the course of*) *their life.* This use of παρά is favored by Lucian. Cf. *Pisc.* 25 οἱοι . . . ἐγενόμεθα παρὰ τὸν βίον and 32 παρὰ ζῶντας ὑμᾶς ἡ ἐξέτασις . . . ἐγίγνετο. — **ἔξω**: *aside from.* — **φόβους** κτλ.: for plural of abstract nouns used concretely cf. Gildersleeve, *S. C. G.* 44 and 45. — **ἐξ ἰσοτιμίας**: *on the common level.* — **τὰ τούτων**: i.e. βασιλέων. — **καιρός**: *it's high time.*

19. **πομφόλυγας**: onomatopoetic redupl. Around Charon's boat the Frogs' choral had burst in a triumphant blare of bubbles, πομφολυγοπαφλάσμασιν, Ar. *Ran.* 249. — **ἀπέσβησαν**

τινες μικραί εἰσι καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν, αἱ δ' ἐπὶ πλέον διαρκοῦσι καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων ὑπερφυσώμεναι ἐς μέγιστον ὄγκον αἴρονται, εἶτα μέντοι κἀκεῖναι πάντως ἐξερράγησάν ποτε· οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι. τοῦτό ἐστιν ὁ ἀνθρώπου βίος· ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους· καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαντο· πᾶσι δ' οὖν ἀπορραγῆναι ἀναγκαῖον.

ΕΡΜ. Οὐδὲν χεῖρον σὺ τοῦ Ὁμήρου εἴκασας, ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ.

20 ΧΑΡ. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ, ὁρᾷς οἷα ποιοῦσι καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι καὶ τιμῶν καὶ κτήσεων ἀμιλλώμενοι, ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς δεήσει ἕνα ὀβολὸν ἔχοντας ἥκειν παρ' ἡμᾶς. βούλει οὖν, ἐπείπερ ἐφ' ὑψηλοῦ ἐσμεν, ἀναβοήσας παμμέγεθες παραινέσω αὐτοῖς ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ ἀεὶ τὸν θάνατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, Ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες· οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε· οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀίδιόν ἐστιν, οὐδ' ἂν ἀπάγοι τις αὐτῶν τι ξὺν αὐτῷ ἀποθανών, ἀλλ' ἀνάγκη

. . . **ἐξερράγησαν**: note the gnomic aorists combined with the presents. Cf. GMT. 157. — **ὁ ἀνθρώπου βίος**: cf. the song:

Man's life 's a vapor full of woes,
He bursts the bubble,
Up he goes!

— **οἱ δὲ ἅμα . . . δ' οὖν**: *and others are no sooner formed than they cease to be; anyhow all . . .* — **φύλλοις τὸ γένος**: cf. *Il.* 6, 146 ff.:

οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.

20. ἕνα ὀβολόν: Charon's prescribed fee. In Aristophanes's *Frogs* 270, however, Dionysus gives two obols— ἔχε δὴ τὠβολώ — perhaps as payment for a round-trip ticket. Certainly he had occupied no *cabine de luxe*, and Xanthias had gone on foot around the lake. For the Roman equivalent cf. Juvenal *Sat.* 3, 267, where unlooked-for death seats the corpse by the bank nec habet quem porrigat ore trientem. See p. 19. — **θάνατον πρὸ ὀφθαλμῶν**: the Egyptians provided for this by bringing in at their feasts a wooden corpse (Hdt. 2, 78). — **οὐδ' ἂν ἀπάγοι τις αὐτῶν τι**: cf. Job 1, 21 "Naked came I out of my mother's womb, and naked shall I return

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

ΧΑΡ. Εὖ γε, ὦ γεννάδαι· πλὴν πάνυ ὀλίγοι εἰσίν, ὦ Ἑρμῆ.

ΕΡΜ. Ἱκανοὶ καὶ οὗτοι. ἀλλὰ κατίωμεν ἤδη.

22 ΧΑΡ. Ἓν ἔτι ἐπόθουν, ὦ Ἑρμῆ, εἰδέναι, καί μοι δείξας
460 αὐτὸ ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιημένος — τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι.

ΕΡΜ. Ἠρία, ὦ Χάρων, καὶ τύμβους καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα
465 ὁρᾷς καὶ τὰς στήλας καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα καὶ σωματοφυλάκιά ἐστι.

ΧΑΡ. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους καὶ χρίουσι μύρῳ, οἳ δὲ καὶ πυρὰν νήσαντες πρὸ τῶν χωμάτων καὶ βόθρον τινὰ ὀρύξαντες καίουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα

κτλ.: this was the experience of Socrates (*Apol.* 21 E), καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς ἀπηχθόμην, and it was Lucian's also (cf. *Pisc.*).

22. Ἓν ἔτι ἐπόθουν εἰδέναι: *I did want to know still one thing more.* — **ἔσῃ . . . πεποιημένος**: for periphrastic form see Introd. 20. — **ἀποθήκας**: *dépôts.* Charon, as an expert, would inspect the terminal facilities. — **ἵνα**: *where.* — **θεάσασθαι**: in appos. with εἰδέναι (if the text is correct). — **Ἠρία . . . τάφους**: *cairns and tombs and graves.* — **πρὸ τῶν πόλεων**: there still remain in situ some beautiful monuments along the Street of Tombs, outside the Dipylon at Athens (cf. Paus. 1, 29, 2–8; Gulick, pp. 9 and 296). Thinking of later times Lucian might let Charon see also the tombs along the Appian Way. — **χώματα . . . πυραμίδας**: *mounds, memorial slabs, and pyramids.* For the stelae see Gulick, pp. 298 ff. The pyramid of C. Sestius, still a familiar landmark in the Roman wall, may be in Lucian's mind as well as the pyramids of Egypt. — **νεκροδοχεῖα καὶ σωματοφυλάκια**: "*lodging-vaults and body-wards.*" These are compounds made up for Charon's benefit. The first is meant to give comic force, as a technical term like Latin columbaria (*pigeon-holes*), but grimly suggesting ξενοδοχεῖον. Cf. the compound νεκρακαδημία *V. H.* B 23. σωματοφυλάκιον is as good for the purpose as χρηματοφυλάκιον *treasury.* — **στεφανοῦσι**: cf. *de Luctu* 19 where the corpse indignantly exclaims τί δὲ (sc. με ὀνίνησιν) ὁ ὑπὲρ τοῦ τάφου λίθος ἐστεφανωμένος; — **καὶ πυράν**: for the choice between burial and cremation see Gulick, p. 296. In *de Luctu* 18 the corpse balances the probabilities τῶν ὀφθαλμῶν διασαπέντων ἢ καὶ νὴ Δία καέντων μετ' ὀλίγον, εἴ γε (*supposing, as is not impossible*) καῦσαί με διεγνώκατε (*you have decided to cremate me*). — **καίουσι**: in *Philops.* 27 the ghost of Demaenete returns to insist upon the cremation of

καὶ ἐς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι, ἐκχέουσιν;

ΕΡΜ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα πρὸς τοὺς ἐν Ἅιδου· πεπιστεύκασι γοῦν τὰς ψυχὰς ἀναπεμπομένας κάτωθεν δειπνεῖν μὲν ὡς οἷόν τε περιπετομένας τὴν κνῖσαν καὶ τὸν καπνόν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρατον.

ΧΑΡ. Ἐκείνους ἔτι πίνειν ἢ ἐσθίειν, ὧν τὰ κρανία ξηρότατα; καίτοι γελοῖός εἰμι σοὶ λέγων ταῦτα ὁσημέραι κατάγοντι αὐτούς. οἶσθα οὖν εἰ δύναιντ' ἂν ἔτι ἀνελθεῖν ἅπαξ ὑποχθόνιοι γενόμενοι. ἐπεί τοι καὶ παγγέλοι' ἄν, ὦ Ἑρμῆ, ἔπασχες, οὐκ ὀλίγα πράγματα ἔχων, εἰ ἔδει μὴ κατάγειν μόνον αὐτούς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. ὦ μάταιοι, τῆς ἀνοίας, οὐκ εἰδότες ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν καὶ τὰ ζώντων πράγματα καὶ οἷα τὰ παρ' ἡμῖν ἐστι καὶ ὅτι

κάτθαν' ὁμῶς ὅ τ' ἄτυμβος ἀνὴρ ὅς τ' ἔλλαχε τύμβου,
ἐν δὲ ἰῇ τιμῇ Ἶρος κρείων τ' Ἀγαμέμνων·
Θερσίτῃ δ' ἶσος Θέτιδος παῖς ἠυκόμοιο.
πάντες δ' εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα,
γυμνοί τε ξηροί τε κατ' ἀσφοδελὸν λειμῶνα.

her other golden sandal.— **τί ταῦτα**: sc. *δύναται*. Cf. *Light of Asia*, Book III:

No appetites, no pleasures, and no pains
Hath such: the kiss upon his lips is nought,
The fire-scorch nought; he smelleth not his flesh
A-roast, nor yet the sandal and the spice
They burn.

So in *de Luctu* 19 the corpse exclaims: *τί ὑμῖν δύναται τὸν ἄκρατον ἐπιχεῖν;*— **ἔπασχες**: all Mss. have *ἔπασχον*. See App. Note tense of *πιομένους*. — **διακέκριται**: note tense; "there is a great gulf fixed."— **κάτθαν' κτλ.**: a potpourri of Homeric parodies; *Il.* 9, 319–320 will illustrate Charon's method; *ἐν δὲ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός· κάτθαν' ὁμῶς ὅ τ' ἀεργὸς ἀνὴρ ὅ τε πολλὰ ἐοργώς.*

For the rest cf. *Od.* 10, 521; 11, 529–573. For Iros the beggar *Od.* 18, 1–6; for Thersites *Il.* 2, 212. These *disiecta membra Homeri* may be translated:

Died all the same the unsepulchred man and the man in his coffin,
One and the same is the honor to Iros and Lord Agamemnon,
Fair-hair'd Thetis's son is down on a par with Thersites.
Bald-pated corpses alike and together all feeble and ghostly
Naked and bleaching they lie here and there on the asphodel meadow.

23 ΕΡΜ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. ἀλλ' ἐπείπερ ἀνέμνησάς με, ἐθέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον. ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνό ἐστι τὸ Τρωικόν· ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ.

ΧΑΡ. Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. τὰς πόλεις δὲ τὰς ἐπισήμους δεῖξόν μοι ἤδη, ἃς κάτω ἀκούομεν, τὴν Νίνον τὴν Σαρδαναπάλλου καὶ Βαβυλῶνα καὶ Μυκήνας καὶ Κλεωνὰς καὶ τὴν Ἴλιον αὐτήν· πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα ὅλων ἐτῶν μὴ νεωλκῆσαι μηδὲ διαψῦξαι τὸ σκαφίδιον.

ΕΡΜ. Ἡ Νίνος μέν, ὦ πορθμεῦ, ἀπόλωλεν ἤδη καὶ οὐδὲ ἴχνος ἔτι λοιπὸν αὐτῆς, οὐδ' ἂν εἴποις ὅπου ποτὲ ἦν· ἡ Βαβυλὼν δέ σοι ἐκείνη ἐστὶν ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη ὥσπερ ἡ Νίνος· Μυκήνας δὲ καὶ Κλεωνὰς αἰσχύνομαι δεῖξαί σοι, καὶ μάλιστα τὸ Ἴλιον. ἀποπνίξεις γὰρ εὖ οἶδ' ὅτι τὸν Ὅμηρον κατελθὼν ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν δὲ τεθνᾶσι καὶ αὗται· ἀποθνήσκουσι γάρ, ὦ πορθμεῦ, καὶ πόλεις ὥσπερ ἄνθρωποι,

23. **Ἡράκλεις . . . ἐπαντλεῖς**: *Heracles! What a lot of Homeric bilgewater you do bale out on me!* — **νεωλκῆσαι κτλ.**: *to put my boat in the dry-dock.* — **ἡ . . . περίβολον**: see Introd. 30. — **ἀποπνίξεις**: in *D. Mort.* 19 Aeacus has to call "hands off" to Protesilaus: *τί ἅπτει τὴν Ἑλένην προσπεσών;* — **Κλεωνάς**: although this necrology of ancient cities was substantially true for Lucian's time, yet at the time assumed for this dialogue Cleonae was administering the Nemean games (see Grote c. xxviii); it even survived for Pausanias (2, 15, 1) to speak of as **πόλις . . . οὐ μεγάλη**, when on his way to see the ruins of Mycenae. — **καὶ πόλεις**: Servius Sulpicius (Cic. *Ep. Fam.* 4, 5, cited by Williams) tries to console Cicero for his daughter's death by recalling his feelings on looking about him as he was sailing once from Aegina to Megara: Coepi egomet mecum sic cogitare: "Hem! nos homunculi indignamur, si quis nostrum interiit aut occisus est, quorum vita brevior esse debet, cum uno loco tot oppidûm cadavera

καὶ τὸ παραδοξότατον, καὶ ποταμοὶ ὅλοι· Ἰνάχου γοῦν οὐδὲ τάφρος ἔτι ἐν Ἄργει καταλείπεται.

ΧΑΡ. Παπαῖ τῶν ἐπαίνων, Ὅμηρε, καὶ τῶν ὀνομάτων, Ἴλιος ἱρὴ καὶ εὐρυάγυια καὶ ἐυκτίμεναι Κλεωναί. ἀλλὰ μεταξὺ λόγων τίνες ἐκεῖνοί εἰσιν οἱ πολεμοῦντες ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν;

ΕΡΜ. Ἀργείους ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρατηγὸν Ὀθρυάδαν τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὐτοῦ αἵματι.

ΧΑΡ. Ὑπὲρ τίνος δ' αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος;

ΕΡΜ. Ὑπὲρ τοῦ πεδίου. αὐτοῦ ἐν ᾧ μάχονται.

ΧΑΡ. Ὦ τῆς ἀνοίας, οἵ γε οὐκ ἴσασιν ὅτι, κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ· τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι πολλάκις ἐκ βάθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ.

ΕΡΜ. Οὕτω μὲν ταῦτα ἔσται· ἡμεῖς δὲ καταβάντες ἤδη καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὄρη ἀπαλλαττώμεθα,

proiecta iacent?"—**Ἰνάχου**: the modern *Panitza* when swollen by winter rains, uniting with the Charadros (mod. Xerias) between Argos and Tiryns, still makes its way to the sea. Baedeker, *Greece*, p. 250. But cf. Paus. 2, 15, 5.

24. Ὀθρυάδαν: see Hdt. 1, 82 for the story. Othryades fixes the attention somewhat as Horatius surviving his two brothers in a similar, but more select, *duellum*. The "Complete Rhetorician" must have these stock allusions always at hand; cf. *Rhet. Praec.* 18 *καὶ ἀεὶ ὁ Ἄθως πλεισθω . . . καὶ ὁ ἥλιος ὑπὸ τῶν Μηδικῶν βελῶν σκεπέσθω . . . καὶ τὰ Ὀθρυάδου γράμματα ἀναγινωσκέσθω.* —**πεδίου**: i.e. Cynuria, the small, but important, frontier coast-strip between Argolis and Laconia. Menippus (*Icar.* 18), looking down from the sky, says contemptuously that it is no wider than *φακοῦ Αἰγυπτίου.* —**ποδιαῖον**: probably a foot each way, i.e. a *square* foot; a *front* foot on Acheron Avenue without a rear line would have been as incautious a land-grant as those of our early colonies. Yet full-sized femora could not lie flat in this space. Cf. also *Men.* 17, where Aeacus requires each newcomer to *pull himself together, lie down, and be content with his quarters: ἀγαπῶντα κατακεῖσθαι πρὸς τὸ μέτρον συνεσταλμένον . . . δίδωσι δὲ τὸ μέγιστον οὐ πλέον ποδός.* —**ἐκ βάθρων . . . τῷ ἀρότρῳ**:

ἐγὼ μὲν καθ' ἃ ἐστάλην, σὺ δὲ ἐπὶ τὸ πορθμεῖον· ἥξω δέ σοι καὶ αὐτὸς μετ' ὀλίγον νεκροστολῶν.

ΧΑΡ. Εὖ γε ἐποίησας, ὦ Ἑρμῆ· εὐεργέτης εἰς ἀεὶ ἀναγεγράψῃ. ὠνάμην τι διὰ σὲ τῆς ἀποδημίας. — οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα. βασιλεῖς, πλίνθοι χρυσαῖ, ἐπιτύμβια, μάχαι. Χάρωνος δὲ οὐδεὶς λόγος.

cf. Southey's *Battle of Blenheim*. — **καθ' ἃ ἐστάλην**: cf. supra § 1 *ἀπέρχομαί τι διακονησόμενος τῷ ἄνω Διΐ*. One of these errands is immortalized in the Olympia group by Praxiteles, representing Hermes with his infant brother Dionysus. — **νεκροστολῶν**: *with a flock of corpses*. L. & S. s.v. wrongly refer to Charon, and trans. *ferrying the dead*. A similar confusion is to be assumed in the Mss. above, giving rise to *ἔπασχον* instead of the second person. — **εὐεργέτης . . . ἀναγεγράψῃ**: Charon (of all persons) promises Hermes one of the conventional votive slabs! Cf. *Pisc.* 38 *εὐεργέτην ἀναγεγράφθαι*. — **οἷα . . . ἀνθρώπων**: Charon exclaims (with Puck) "Lord, what fools these mortals be!" — **βασιλεῖς . . . λόγος**: *kings, golden ingots, funeral rites, battles, but never a word about Charon.* From the foregoing dialogue Charon selects the important details in order, i.e. Croesus, Cyrus, Tomyris, Polycrates (*βασιλεῖς* §§ 9–18); the votive offerings sent to Delphi (*πλίνθοι χρυσαῖ* § 11); the libations and other vain observances at the tomb (see § 22 and App. on *ἐπιτύμβια* § 24); the contest between the Argives and the Spartans (*μάχαι* § 24), which is the crowning absurdity in his eyes. — **Χάρωνος . . . λόγος**: this is a reminiscence of Ar. *Ran.* 87; 107; 115, where the slave Xanthias keeps interjecting *περὶ ἐμοῦ δ' οὐδεὶς λόγος*. Lucian uses the formula in two other passages, omitting the *περί*: i.e. *Catapl.* 14, where the poor shoemaker exclaims *εἰπέ μοι, ὦ Κλωθοῖ, ἐμοῦ δὲ οὐδεὶς ὑμῖν λόγος*; and *Fugit.* 28 *ἡμῶν δὲ οὐδεὶς λόγος*. The words *βασιλεῖς* to *μάχαι* inclusive, often left out by edd., are necessary to the artistic unity of the climax; see App.

VERA HISTORIA

INTRODUCTION

In the *Vera Historia* more than in any other of his writings, the *Asinus*[1] perhaps excepted, Lucian has allowed his fertile fancy to have its way, careless of the moral to be enforced. A moral, indeed, there is. He must mock at the poets and pseudo-historians as inventors of fables. At the end, after our mad journey in the air, we glide down the iridescent rainbow of his fantasy to earth again and stand somewhat dazed amidst the contraband fardels that we have smuggled through the "ivory gates."

As the *Syrian Goddess*,[2] mocking, scantily draped with ecclesiastic stole, renders ridiculous the naïve credulity of Herodotus or that of his lying imitators, so we turn not to Lucian's *How* [*not*] *to Write History* — that somewhat unsuccessful attempt to be didactic and constructive — but to its sequel, the *True History*, to find a better codification of the laws and a clearer map of the boundaries of the neutral zone which lies between the belligerent armies of fact and fancy.

The moral comes first, the sugar-coating is within. In the opening of Part A[3] he makes his *apologia*. He mentions a few of the right honorable liars who have preceded him, like Homer's Odysseus, like innumerable poets, philosophers, and the historians such as Ctesias[4] and Iambulus[5] and others who, he says, will be recognized unnamed. He adds in substance (§ 4): "I did not blame

[1] The authorship of the *Asinus* is much debated. Croiset does not accept it.

[2] For authenticity see Introd., p. xvi, note 2.

[3] Part B only is included in these selections.

[4] For Ctesias and Herodotus cf. *Philops.* 2. Also for Ctesias cf. *Ctesiae fragmenta de rebus Indicis*, in *Herodotus* ed. Carolus Müller (Parisiis, 1844), sub fin.

[5] For a possible epitome of his lost writings see Diod. Sicul. 2, 55–60.

them so much for their mendacity . . . but what did surprise me was that they expected to escape detection. Wishing, therefore, to play my part in the world of letters and liars, and having no facts to recount — since nothing worth mentioning has ever happened to me — I will say in advance this one true thing, to wit, that I am going to tell you lies. So, then, I write about what I neither saw nor experienced nor heard of from others, and, what's more, about things that never happen at all nor ever could happen."

After this preamble we take ship with Lucian and fifty other companions imbued with these same lofty ideals, and set sail from the Pillars of Heracles out into the Western Ocean. Atlas, vainly trying to hold heaven and earth apart, drops forthwith behind the horizon, and we are suddenly whirled aloft into the heavenly hemisphere away from even wireless worry except for brief glimpses of home affairs reflected in the magic mirror of the moon or seen by the light of the family lamp encountered, as luck would have it, in the Lamp-heaven.

Lucian's conceits never degenerate into mere nursery burlesque. Through the whole narrative he holds us captive, like children, by his air of verisimilitude. He prolongs our appetite by the recurrent intellectual spice of delicate parodies that pervade his satire. He out-Herods Herodotus, whom he really revered for his mastery of narrative style,[1] and he delights to borrow the charms of the Father of History to adorn in mockery the Father of Lies; but in the end he is careful to draw aside the Babylonish garment and show us the ass's shins[2] before he bows us back again into "our own continent that lies opposite."

To say that Lucian invented all his imagery would be to ignore passages,[3] well known to him also, of the *Odyssey*, of Hesiod, Herodotus, Pindar, Plato (e.g. the *Gorgias* and the pseudo-Platonic *Axiochus*), as well as Horace. Photius, too, in his Μυριοβίβλιον ἢ Βιβλιοθήκη, gives extracts from the *Wonders of the Island Thule* (*Incredibilium de Thule Insula libri xxiv*), by Antonius Diogenes,

[1] See Luc. *Herod.* 7.
[2] *V.H.* B 46.
[3] Cf. infra, § 4, note.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

The Vedic literature itself offers some equally striking parallels with the *Vera Historia*. Thus the rivers of honey, milk, and wine (§ 13) recall the rewards to the faithful who are promised (*Atharva-veda* 4, 34, 6) "ponds filled with clarified butter, honey, milk, and curds."[1]

Similar notions of future happiness reappear in various literatures, like the Teutonic and the Celtic. The Irish *Tir Tairngire*[2] (Land of Promise) is an island enjoying never-ending day, a fogless summer. The flowers never wither. Apple-trees abound, bearing at the same time flowers and fruit (cf. *Od.* 7, 122–128). It is rich in milk, ale, and pork. The breezes are laden with sweet music. The inhabitants are exempt from disease and death.

The *Vera Historia* has in turn served as a model, directly or indirectly, for a goodly company[3] — Rabelais, Hans Sachs, Cervantes, Quevedo, Cyrano de Bergerac, Boileau, Swift, Baron Munchausen, down to Jules Verne; but the model is also the master. Rabelais, compared with Lucian, is as coarse-grained as Rubens compared with Paul Veronese. When fancy — not purposed satire — would set our course towards the Fortunate Islands, next after Lucian we are attracted first amongst them all by the quaint German of Hans Sachs's[4] happy *Schlaraffenland* where cooks are but curious superfluities, and sturdy workmen drop like ripe plums, not into the mouths of walking delegates, but each into a pair of honest boots:

> Von Malvasier so sind die brunnen,
> Kommen eym selbst ins Maul gerunnen —
> . . . . . .
> Und flüget umb (müget ir glauben)
> Gebraten hüner, genß und tauben.
> . . . . . .
> So wachsen bawern auf den bawmen
> Gleich wie in unserm land die pflawmen.
> Wens zeitig sind, so fallens ab
> Yeder in ein paar Stifel rab.

[1] Cf. Arrowsmith's Kaegi, *The Rigveda*, p. 162.
[2] See *Enc. Brit.* V, p. 352.
[3] See Introd. pp. xxi–xxviii.
[4] For his own acknowledgement of his debt to Lucian see Introd. p. xxii.

ΑΛΗΘΟΥΣ ΙΣΤΟΡΙΑΣ

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

1 Τὸ δ' ἀπὸ τούτου μηκέτι φέρων ἐγὼ τὴν ἐν τῷ κήτει
δίαιταν ἀχθόμενός τε τῇ μονῇ μηχανήν τινα ἐζήτουν δι' ἧς
ἂν ἐξελθεῖν γένοιτο· καὶ τὸ μὲν πρῶτον ἔδοξεν ἡμῖν διορύ-
ξασι κατὰ τὸν δεξιὸν τοῖχον ἀποδρᾶναι, καὶ ἀρξάμενοι
5 διεκόπτομεν· ἐπειδὴ δὲ προελθόντες ὅσον πέντε σταδίους
οὐδὲν ἠνύομεν, τοῦ μὲν ὀρύγματος ἐπαυσάμεθα, τὴν δὲ ὕλην
καῦσαι διέγνωμεν· οὕτω γὰρ ἂν τὸ κῆτος ἀποθανεῖν· εἰ δὲ
τοῦτο γένοιτο, ῥᾳδία ἔμελλεν ἡμῖν ἔσεσθαι ἡ ἔξοδος. ἀρξά-
μενοι οὖν ἀπὸ τῶν οὐραίων ἐκαίομεν, καὶ ἡμέρας μὲν ἑπτὰ
10 καὶ ἴσας νύκτας ἀναισθήτως εἶχε τοῦ καύματος, ὀγδόῃ δὲ
καὶ ἐνάτῃ συνίεμεν αὐτοῦ νοσοῦντος· ἀργότερον γοῦν ἀνέ-
χασκε, καὶ εἴ ποτε ἀναχάνοι, ταχὺ συνέμυε. δεκάτῃ δὲ
καὶ ἑνδεκάτῃ τέλεον ἀπενενεκροῦτο καὶ δυσῶδες ἦν· τῇ

1. **μηκέτι**: see Introd. 39 (*e*). — **ἐν τῷ κήτει**: in Part A 30 of the *V.H.* Lucian and his fifty companions, ship and all, had been swallowed by a huge fish. — **κατά**: *at*; L. & S. s.v., B, 3. — **διεκόπτομεν**: *we chopped away* (conative). — **τὴν ὕλην**: from the incoming flotsam and detritus the monster (see A 31) had gradually accumulated large holdings of real estate, including a well-wooded tract of land thirty miles in circumference. — **ἔμελλεν ἔσεσθαι**: "future of the past," Gildersleeve, *S.C.G.* 272, and cf. Soph. *O.T.* 967. — **ἡμέρας . . . ἴσας νύκτας**: *for seven days and nights to match.* A set phrase, cf. § 35 and A 10. — **ἀνέχασκε**: in A 40 the periodic yawning of the monster marks the passing hours: *τῷ δ' ἑνάτῳ μηνὶ πέμπτῃ ἱσταμένου περὶ τὴν δευτέραν τοῦ στόματος ἄνοιξιν — ἅπαξ γὰρ δὴ τοῦτο κατὰ τὴν ὥραν ἑκάστην ἐποίει τὸ κῆτος, ὥστε ἡμᾶς πρὸς τὰς ἀνοίξεις τεκμαίρεσθαι τὰς ὥρας — . . . ἄφνω βοὴ . . . ἠκούετο.* — **ἀπενενεκροῦτο**: *he lay mortifying.* For the compound *ἀπεννεκρόω* see App. The plpf. *ἐτεθνήκει* below means *was dead.* *τέλεον* must then

δωδεκάτῃ δὲ μόλις ἐνενοήσαμεν ὡς, εἰ μή τις χανόντος αὐτοῦ ὑποστηρίξειε τοὺς γομφίους ὥστε μηκέτι συγκλεῖσαι, κινδυνεύσομεν κατακλεισθέντες ἐν νεκρῷ αὐτῷ ἀπολέσθαι. οὕτω δὴ μεγάλοις δοκοῖς τὸ στόμα διερείσαντες τὴν ναῦν ἐπεσκευάζομεν ὕδωρ τε ὡς ἔνι πλεῖστον ἐμβαλλόμενοι καὶ τὰ ἄλλα ἐπιτήδεια· κυβερνᾶν δ' ἔμελλεν ὁ Σκίνθαρος. τῇ 2 δ' ἐπιούσῃ τὸ μὲν ἤδη ἐτεθνήκει. ἡμεῖς δὲ ἀνελκύσαντες τὸ πλοῖον καὶ διὰ τῶν ἀραιωμάτων διαγαγόντες καὶ ἐκ τῶν ὀδόντων ἐξάψαντες ἠρέμα καθήκαμεν ἐς τὴν θάλατταν· ἐπαναβάντες δὲ ἐπὶ τὰ νῶτα καὶ θύσαντες τῷ Ποσειδῶνι αὐτοῦ παρὰ τὸ τρόπαιον ἡμέρας τε τρεῖς ἐπαυλισάμενοι — νηνεμία γὰρ ἦν — τῇ τετάρτῃ ἀπεπλεύσαμεν. ἔνθα δὴ πολλοῖς τῶν ἐκ τῆς νησομαχίας νεκροῖς ἀπηντῶμεν καὶ προσωκέλλομεν, καὶ τὰ σώματα καταμετροῦντες ἐθαυμάζομεν. καὶ ἡμέρας μέν τινας ἐπλέομεν εὐκράτῳ ἀέρι χρώμενοι, ἔπειτα βορέου σφοδροῦ πνεύσαντος μέγα κρύος ἐγένετο καὶ ὑπ' αὐτοῦ πᾶν ἐπάγη τὸ πέλαγος οὐκ ἐπιπολῆς μόνον, ἀλλὰ καὶ ἐς βάθος ὅσον ἐπὶ τετρακοσίας ὀργυιάς, ὥστε καὶ ἀποβάντας διαθεῖν ἐπὶ τοῦ κρυστάλλου. ἐπιμένοντος δὲ τοῦ πνεύματος φέρειν οὐ δυνάμενοι τοιόνδε τι ἐπενοήσαμεν — ὁ δὲ τὴν γνώμην ἀποφηνάμενος ἦν Σκίνθαρος — σκάψαντες γὰρ ἐν τῷ ὕδατι σπήλαιον μέγιστον ἐν τούτῳ ἐμείναμεν ἡμέρας τριάκοντα, πῦρ ἀνακαίοντες καὶ σιτούμενοι τοὺς ἰχθῦς· εὑρίσκομεν δὲ αὐτοὺς ἀνορύττοντες. ἐπειδὴ δὲ ἤδη

mean *throughout*, not *completely*. Cf. διὰ τέλους. — **μόλις**: *just in time*. — **ὥστε**: the consecutive clause becomes also final. GMT. 587, 3. — **Σκίνθαρος**: a shipwrecked squatter found by Lucian (A 33) in the fish.

2. ἀραιωμάτων: sc. τῶν ὀδόντων. Cf. A 30. — **ἐκ τῶν ὀδόντων ἐξάψαντες**: *using his teeth as davits*. — **παρὰ τὸ τρόπαιον**: the victors in the "battle of the islands" (cf. A 42) had staked up on the fish's head one of the hostile islands as a trophy. — **προσωκέλλομεν**: sc. τὴν ναῦν: *we beached our boat*. The dead bodies (cf. A 40) were ὅσον ἡμισταδιαῖοι τὰς ἡλικίας. — **ὥστε . . . κρυστάλλου**: Lucian takes for granted a public unused to safe ice, as did

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

τοῦ Ποσειδῶνος λαβοῦσα τὴν τιμήν. μείναντες δὲ ἡμέρας ἐν τῇ νήσῳ πέντε τῇ ἕκτῃ ἐξωρμήσαμεν, αὔρας μέν τινος παραπεμπούσης, λειοκύμονος δὲ οὔσης τῆς θαλάττης· τῇ ὀγδόῃ δὲ ἡμέρᾳ πλέοντες οὐκέτι διὰ τοῦ γάλακτος, ἀλλ' ἤδη ἐν ἁλμυρῷ καὶ κυανῷ ὕδατι, καθορῶμεν ἀνθρώπους πολλοὺς ἐπὶ τοῦ πελάγους διαθέοντας, ἅπαντα ἡμῖν προσεοικότας καὶ τὰ σώματα καὶ τὰ μεγέθη, πλὴν τῶν ποδῶν μόνων· ταῦτα γὰρ φέλλινα εἶχον· ἀφ' οὗ δὴ οἶμαι καὶ ἐκαλοῦντο Φελλόποδες. ἐθαυμάζομεν οὖν ἰδόντες οὐ βαπτιζομένους ἀλλ' ὑπερέχοντας τῶν κυμάτων καὶ ἀδεῶς ὁδοιποροῦντας. οἱ δὲ καὶ προσῄεσαν καὶ ἠσπάζοντο ἡμᾶς Ἑλληνικῇ φωνῇ ἔλεγόν τε εἰς Φελλὼ τὴν αὐτῶν πατρίδα ἐπείγεσθαι· μέχρι μὲν οὖν τινος συνωδοιπόρουν ἡμῖν παραθέοντες, εἶτα ἀποτραπόμενοι τῆς ὁδοῦ ἐβάδιζον εὔπλοιαν ἡμῖν ἐπευξάμενοι. μετ' ὀλίγον δὲ πολλαὶ νῆσοι ἐφαίνοντο, πλησίον μὲν ἐξ ἀριστερῶν ἡ Φελλώ, εἰς ἣν ἐκεῖνοι ἔσπευδον, πόλις ἐπὶ μεγάλου καὶ στρογγύλου φελλοῦ κατοικουμένη· πόρρωθεν δὲ καὶ μᾶλλον ἐν δεξιᾷ πέντε μέγισται καὶ ὑψηλόταται, καὶ πῦρ πολὺ ἀπ' αὐτῶν ἀνεκαίετο, κατὰ δὲ τὴν πρῷραν μία πλατεῖα καὶ ταπεινή, σταδίους ἐπέχουσα οὐκ ἐλάττους πεντακοσίων. ἤδη δὲ πλησίον τε ἦμεν καὶ θαυμαστή τις αὔρα περιέπνευσεν ἡμᾶς, ἡδεῖα καὶ εὐώδης, οἵαν φησὶν ὁ συγγραφεὺς Ἡρόδοτος ἀπόζειν τῆς εὐδαίμονος Ἀραβίας. οἷον γὰρ ἀπὸ ῥόδων καὶ ναρκίσσων καὶ ὑακίνθων καὶ κρίνων καὶ ἴων, ἔτι δὲ μυρρίνης καὶ δάφνης καὶ ἀμπελάνθης, τοιοῦτον ἡμῖν τὸ

4. **Φελλόποδες**: *cork-trotters.* Cf. Irish "bog-trotters." Φελλεύς, *Cork-oak Ridge*, was a name in Italy and may help float the pun, but the current meaning was 'a stony tract.' — **εἰς Φελλὼ τὴν αὐτῶν πατρίδα**: *to the old country, to Cork.* — **ἐβάδιζον . . . ἐπευξάμενοι**: *off they walked, praying Heaven to vouchsafe us a good voyage.* ἐπεύχομαι suggests their distrust of other methods of seafaring. — **στρογγύλου**: *drum-shaped.*

5. **κατὰ τὴν πρῷραν**: *dead ahead*; cf. Thuc. 2, 97 κατὰ πρύμναν . . . τὸ πνεῦμα, *with the wind astern.* — **φησὶν**: cf. Hdt. 3, 113 ἀπόζει δὲ τῆς χώρης τῆς

ἡδὺ προσέβαλλεν. ἡσθέντες δὲ τῇ ὀσμῇ καὶ χρηστὰ ἐκ
85 μακρῶν πόνων ἐλπίσαντες κατ' ὀλίγον ἤδη πλησίον τῆς
νήσου ἐγιγνόμεθα. ἔνθα δὴ καὶ καθεωρῶμεν λιμένας τε
πολλοὺς περὶ πᾶσαν ἀκλύστους καὶ μεγάλους, ποταμούς τε
διαυγεῖς ἐξιόντας ἠρέμα ἐς τὴν θάλατταν, ἔτι δὲ λειμῶνας
καὶ ὕλας καὶ ὄρνεα μουσικά, τὰ μὲν ἐπὶ τῶν ἠιόνων ᾄδοντα,
90 πολλὰ δὲ καὶ ἐπὶ τῶν κλάδων· ἀήρ τε κοῦφος καὶ εὔπνους
περιεκέχυτο τὴν χώραν· καὶ αὖραι δέ τινες ἡδεῖαι δια-
πνέουσαι ἠρέμα τὴν ὕλην διεσάλευον, ὥστε καὶ ἀπὸ τῶν
κλάδων κινουμένων τερπνὰ καὶ συνεχῆ μέλη ἀπεσυρίζετο
ἐοικότα τοῖς ἐπ' ἐρημίας αὐλήμασι τῶν πλαγίων αὐλῶν.
95 καὶ μὴν καὶ βοὴ σύμμικτος ἠκούετο ἄθρους, οὐ θορυβώδης,
ἀλλ' οἷα γένοιτ' ἂν ἐν συμποσίῳ, τῶν μὲν αὐλούντων, τῶν
δὲ ἐπᾳδόντων, ἐνίων δὲ κροτούντων πρὸς αὐλὸν ἢ κιθάραν.
6 τούτοις ἅπασι κηλούμενοι κατήχθημεν, ὁρμίσαντες δὲ τὴν
ναῦν ἀπεβαίνομεν τὸν Σκίνθαρον ἐν αὐτῇ καὶ δύο τῶν

Ἀραβίης θεσπέσιον ὡς ἡδύ and 3, 23 ὄζειν δὲ ἀπ' αὐτῆς ὡς εἰ ἴων. — **τῆς νήσου**: to the Greeks, loving the Aegean and the "glittering Cyclades," islands were fit for the birth of gods and the joy of men. The allusions to the Islands of the Blest are various. The Elysium of the gods on Olympus blends (cf. *Od.* 6, 41 ff., and 4, 563 ff.), with the Elysium for mortals. Ps.-Dem., 60, 34, places the dead heroes, as πάρεδροι of the gods, ἐν μακάρων νήσοις. Hesiod, *W. & D.* 169–173, mentions the Islands by name and gives a typical, though meagre, description. In Oceanus the Heroes dwell afar, heart-free of trouble in the Islands of the Blest, and three times a year the earth yields her increase. Plato makes casual allusion in *Symp.* 179 E; *Rep.* 6, 519 E and 540 B; more particularly in *Gorg.* 524 A. But the locus classicus is Pindar *Ol.* 2, 109 ff. . . . ἔνθα μακάρων νᾶσος (= νήσους) ὠκεανίδες αὖραι περιπνέοισιν. Here there is the unlaborious life, with wreaths of flowers unfading, plucked on water and on land, while Ocean's breezes fail not, and crowning all is the company of the great and noble dead (cf. Plato *Apol.* 40 E). Pindar's Fragm. (10, 1 Boeckh) tr. by Symonds has also the sensuous beauty without the noble climax. Cf. also Horace *Epod.* 16, 41 ff. See p. 54. — **ἐπ' ἐρημίας**: in deserto loco; i.e. hung up by shepherds as votive offerings. Jerram cites Virg. *Ecl.* 7, 24:

Hic arguta sacra pendebit fistula pinu.

— **πλαγίων**: see Howard, *H. S. C. P.* IV, 14.

ἑταίρων ἀπολιπόντες. προϊόντες δὲ διὰ λειμῶνος εὐανθοῦς ἐντυγχάνομεν τοῖς φρουροῖς καὶ περιπόλοις, οἱ δὲ δήσαντες ἡμᾶς ῥοδίνοις στεφάνοις — οὗτος γὰρ μέγιστος παρ' αὐτοῖς δεσμός ἐστιν — ἀνῆγον ὡς τὸν ἄρχοντα, παρ' ὧν δὴ καθ' ὁδὸν ἠκούσαμεν ὡς ἡ μὲν νῆσος εἴη τῶν Μακάρων προσαγορευομένων, ἀρχὸς δὲ ὁ Κρὴς Ῥαδάμανθυς. καὶ δὴ ἀναχθέντες ὡς αὐτὸν ἐν τάξει τῶν δικαζομένων ἔστημεν τέταρτοι.

7 ἦν δὲ ἡ μὲν πρώτη δίκη περὶ Αἴαντος τοῦ Τελαμῶνος, εἴτε χρὴ αὐτὸν συνεῖναι τοῖς ἥρωσιν εἴτε καὶ μή· κατηγορεῖτο δὲ αὐτοῦ ὅτι μεμήνοι καὶ ἑαυτὸν ἀποκτάνοι. τέλος δὲ πολλῶν ῥηθέντων ἔγνω ὁ Ῥαδάμανθυς, νῦν μὲν αὐτὸν πιόμενον τοῦ ἑλλεβόρου παραδοθῆναι Ἱπποκράτει τῷ Κῴῳ ἰατρῷ,

8 ὕστερον δὲ σωφρονήσαντα μετέχειν τοῦ συμποσίου. δευτέρα δὲ ἦν κρίσις ἐρωτική, Θησέως καὶ Μενελάου περὶ τῆς Ἑλένης διαγωνιζομένων, ποτέρῳ χρὴ αὐτὴν συνοικεῖν. καὶ ὁ Ῥαδάμανθυς ἐδίκασε Μενελάῳ συνεῖναι αὐτὴν ἅτε καὶ τοσαῦτα πονήσαντι καὶ κινδυνεύσαντι τοῦ γάμου ἕνεκα· καὶ γὰρ αὖ τῷ Θησεῖ καὶ ἄλλας εἶναι γυναῖκας τήν τε Ἀμα-

9 ζόνα καὶ τὰς τοῦ Μίνωος θυγατέρας. τρίτη δ' ἐδικάσθη περὶ προεδρίας Ἀλεξάνδρῳ τε τῷ Φιλίππου καὶ Ἀννίβᾳ τῷ Καρχηδονίῳ, καὶ ἔδοξε προέχειν ὁ Ἀλέξανδρος, καὶ θρόνος

10 αὐτῷ ἐτέθη παρὰ Κῦρον τὸν Πέρσην τὸν πρότερον. τέταρτοι δὲ ἡμεῖς προσήχθημεν· καὶ ὃ μὲν ἤρετο τί παθόντες

6. λειμῶνος εὐανθοῦς: so in Ar. *Ran.* 373 the Mystae are to advance *εἰς τοὺς εὐανθεῖς κόλπους λειμώνων*. — **τοῖς φρουροῖς καὶ περιπόλοις**: *the watch and patrol.* Note the article. — **παρ' ὧν**: note the relative instead of another demonstrative, although the clause is logically co-ordinate with the preceding. Cf. Acts 24, 6–8. — **τῶν δικαζομένων . . . τέταρτοι**: *fourth on the court docket.*

7. μεμήνοι: note tense and the shift to aorist. — **ἀποκτάνοι**: 2d aor. is poetic. — **ὕστερον**: see § 23.

8. τήν τε Ἀμαζόνα: Antiope or Hippolyte. — **τὰς . . . θυγατέρας**: i.e. the ill-used Ariadne and her sister, the faithless Phaedra.

9. Ἀλεξάνδρῳ . . . Ἀννίβᾳ: in *D. Mort.* 12 Lucian hits Alexander hard, but gives him a first place with Scipio a

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

ἔχουσιν, ἀλλ᾽ ἀναφεῖς καὶ ἄσαρκοί εἰσι, μορφὴν δὲ καὶ ἰδέαν μόνην ἐμφαίνουσι, καὶ ἀσώματοι ὄντες ὅμως συνεστᾶσι καὶ κινοῦνται καὶ φρονοῦσι καὶ φωνὴν ἀφιᾶσι, καὶ ὅλως ἔοικε γυμνή τις ἡ ψυχὴ αὐτῶν περιπολεῖν τὴν τοῦ σώματος ὁμοιότητα περικειμένη· εἰ γοῦν μὴ ἅψαιτό τις, οὐκ ἂν ἐλέγξειε μὴ εἶναι σῶμα τὸ ὁρώμενον· εἰσὶ γὰρ ὥσπερ σκιαὶ ὀρθαί, οὐ μέλαιναι. γηράσκει δὲ οὐδείς, ἀλλ᾽ ἐφ᾽ ἧς ἂν ἡλικίας ἔλθῃ παραμένει. οὐ μὴν οὐδὲ νὺξ παρ᾽ αὐτοῖς γίνεται, οὐδὲ ἡμέρα πάνυ λαμπρά· καθάπερ γὰρ τὸ λυκαυγὲς ἤδη πρὸς ἕω μηδεπω ἀνατείλαντος ἡλίου, τοιοῦτο φῶς ἐπέχει τὴν γῆν. καὶ μέντοι καὶ ὥραν μίαν ἴσασι τοῦ ἔτους· ἀεὶ γὰρ παρ᾽ αὐτοῖς ἔαρ ἐστὶ καὶ εἷς ἄνεμος παρ᾽ αὐτοῖς πνεῖ ὁ ζέφυρος. ἡ δὲ χώρα πᾶσι μὲν ἄνθεσι, πᾶσι δὲ φυτοῖς ἡμέροις τε καὶ σκιεροῖς τέθηλεν· αἱ μὲν γὰρ ἄμπελοι

2. Ἀριστότελες: the situation becoming acute, ὦ is omitted. Gildersleeve, *S.C.G.* 20. — **εὖ ἔχει**: *good enough!* — **καθ' ἕκαστον γοῦν ἑπτάκις**: cf. Lys. 12, 37 *οἳ οὐδ' ὑπὲρ ἑνὸς ἑκάστου τῶν πεπραγμένων δὶς ἀποθανόντες δίκην δοῦναι δύναιντ' ἄν.* — **Τοὺς ὀφθαλμοὺς ἐκκεκόφθω**: cf. Dem. *de Cor.* 67. King Philip was *τὸν ὀφθαλμὸν ἐκκεκομμένος.* — **Ἐς τοὺς κρατῆρας**: Empedocles (who does not appear in the *Vitarum Auctio*) knows by experience something more effective than the conventional Persian or Roman methods. — **λακιστόν κτλ.**: probably from some unidentified Euripidean (?) tragedy. — **ἵνα**: cf. G. 1371; H. 884; Gl. 642, *c*; B. 590, note 4.

ΛΟΥΚ. Μηδαμῶς· ἀλλὰ πρὸς Ἱκεσίου φείσάσθέ μου.

ΣΩΚ. Ἄραρεν· οὐκ ἂν ἀφεθείης ἔτι. ὁρᾷς δὲ δὴ καὶ τὸν Ὅμηρον ἃ φησιν,

ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά;

ΛΟΥΚ. Καὶ μὴν καθ' Ὅμηρον ὑμᾶς καὶ αὐτὸς ἱκετεύω· αἰδέσεσθε γὰρ ἴσως τὰ ἔπη καὶ οὐ παρόψεσθε ῥαψῳδήσαντά με·

ζωγρεῖτ' οὐ κακὸν ἄνδρα καὶ ἄξια δέχθε ἄποινα,
χαλκόν τε χρυσόν τε, τὰ δὴ φιλέουσι σοφοί περ.

ΠΛΑΤ. Ἀλλ' οὐδὲ ἡμεῖς ἀπορήσομεν πρὸς σὲ Ὁμηρικῆς ἀντιλογίας. ἄκουε γοῦν·

μὴ δή μοι φύξιν γε, κακηγόρε, βάλλεο θυμῷ
χρυσόν περ λέξας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.

ΛΟΥΚ. Οἴμοι τῶν κακῶν. ὁ μὲν Ὅμηρος ἡμῖν ἄπρακτος, ἡ μεγίστη ἐλπίς. ἐπὶ τὸν Εὐριπίδην δή μοι καταφευκτέον· τάχα γὰρ ἂν ἐκεῖνος σώσειέ με.

μὴ κτεῖνε· τὸν ἱκέτην γὰρ οὐ θέμις κτανεῖν.

3. Μηδαμῶς κτλ.: again a reminiscence of Ar. *Ach.* 295–296:

ΧΟΡ. σοῦ γ' ἀκούσωμεν; ἀπολεῖ· κατά σε χώσομεν τοῖς λίθοις.
ΔΙΚ. μηδαμῶς, πρὶν ἄν γ' ἀκούσητ'· ἀλλ' ἀνάσχεσθ', ὦγαθοί.

— **πρὸς Ἱκεσίου** (sc. Διός): *by the savior of suppliants.* — **Ἄραρεν· οὐκ ἂν ἀφεθείης**: *it's settled! you can't get off.* Cf. *Catapl.* 8 ἄραρεν· οὐκ ἂν τύχοις. — **ὡς οὐκ ἔστι** κτλ.: cf. *Il.* 22, 262. — **ζωγρεῖτ' οὐ** κτλ.: patchwork from *Il.* 10, 378, 379; 1, 23; 11, 131–133.

Save me alive, for I'm not a bad fellow; here's plenty of ransom,
Here is some copper and gold, to savants these are welcome — you know it.

— **μὴ δή μοι** κτλ.:

Do not, I charge thee, blasphemer, be pondering flight in thy bosom,
Making this mention of gold, now that once thou hast come to our clutches,

altering *Il.* 10, 447 and 448:

μὴ δή μοι φύξιν γε, Δόλων, ἐμβάλλεο θυμῷ,
ἐσθλά περ ἀγγελίας, ἐπεὶ ἵκεο χεῖρας ἐς ἁμάς.

— **ἐπὶ τὸν Εὐριπίδην**: so Hera (*Iupp. Trag.* 1) says: κολμισον ὀργάν, εἰ μή, ὦ Ζεῦ, δυνάμεθα ῥαψῳδεῖν ὥσπερ οὗτοι μηδὲ τὸν Εὐριπίδην ὅλον καταπεπώκαμεν. — **μὴ κτεῖνε** κτλ.: not identified in extant lines of Euripides. Lucian probably prefers a parody for his own answer here. See two lines below, Νῦν οὖν κτλ., while

ΠΛΑΤ. Τί δέ; οὐχὶ κἀκεῖνα Εὐριπίδου ἐστίν,
οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους;

ΛΟΥΚ. Νῦν οὖν ἔκατι ῥημάτων κτενεῖτέ με;

ΠΛΑΤ. Νὴ Δία· φησὶ γοῦν ἐκεῖνος αὐτός,
ἀχαλίνων στομάτων
ἀνόμου τ᾽ ἀφροσύνας
τὸ τέλος δυστυχία.

4 ΛΟΥΚ. Οὐκοῦν ἐπεὶ δέδοκται πάντως ἀποκτιννύναι καὶ οὐδεμία μηχανὴ τὸ διαφυγεῖν με, φέρε, τοῦτο γοῦν εἴπατέ μοι, οἵτινες ὄντες ἢ τί πεπονθότες ἀνήκεστον πρὸς ἡμῶν ἀμείλικτα ὀργίζεσθε καὶ ἐπὶ θανάτῳ με ξυνειλήφατε;

ΠΛΑΤ. Ἄτινα μὲν εἴργασαι ἡμᾶς τὰ δεινά, σεαυτὸν ἐρώτα, ὦ κάκιστε, καὶ τοὺς καλοὺς ἐκείνους σου λόγους, ἐν οἷς φιλοσοφίαν τε αὐτὴν κακῶς ἠγόρευες καὶ ἐς ἡμᾶς ὕβριζες ὥσπερ ἐξ ἀγορᾶς ἀποκηρύττων σοφοὺς ἄνδρας, καὶ τὸ μέγιστον, ἐλευθέρους· ἐφ᾽ οἷς ἀγανακτήσαντες ἀνελήλυθαμεν ἐπὶ σὲ παραιτησάμενοι πρὸς ὀλίγον τὸν Ἅιδην, Χρύσιππος οὑτοσὶ καὶ Ἐπίκουρος καὶ ὁ Πλάτων ἐγὼ καὶ Ἀριστοτέλης ἐκεινοσὶ καὶ ὁ σιωπῶν οὗτος Πυθαγόρας καὶ ὁ Διογένης καὶ ἅπαντες ὅσους διέσυρες ἐν τοῖς λόγοις.

5 ΛΟΥΚ. Ἀνέπνευσα· οὐ γὰρ ἀποκτενεῖτέ με, ἣν μάθητε ὁποῖος ἐγὼ περὶ ὑμᾶς ἐγενόμην· ὥστε ἀπορρίψατε τοὺς λίθους, μᾶλλον δὲ φυλάττετε. χρήσεσθε γὰρ αὐτοῖς κατὰ τῶν ἀξίων.

Plato borrows direct, *οὐ δεινά κτλ.* from *Orest.* 413, and *ἀχαλίνων στομάτων κτλ.* from *Bacchae* 385–387.

4. οὐδεμία μηχανὴ τὸ διαφυγεῖν: *οὐδεμία μηχανὴ* regularly has *ὅπως* (*οὐ*) with fut. indic. or *μὴ οὐ* with inf. or *τὸ μὴ* and inf. Lucian uses *μηχανή*, without a negative (but with interr. *τίς*, *implying neg.*), with an inf. in *Imag.* 1: *τίς ἔσται μηχανὴ ἀποστῆναι αὐτῆς;* — **τοὺς . . . λόγους**: i.e. *Vit. Auct.* — **ἐλευθέρους**: e.g. Diogenes, cf. *Vit. Auct.* 7.

5. Ἀνέπνευσα: *I breathe again! I'm saved!* For "dramatic aorist" as Eng.

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

καὶ ἁρμόσαι, ὡς μὴ ἀπᾴδειν θάτερον θατέρου. ἔσθ' ὅστις οὖν ταῦτα εὖ πεπονθὼς παρ' ὑμῶν κακῶς ἂν εἰπεῖν ἐπιχειρήσειεν εὐεργέτας ἄνδρας, ἀφ' ὧν ἤδη τις εἶναι ἔδοξεν; ἐκτὸς εἰ μὴ κατὰ τὸν Θάμυριν ἢ τὸν Εὔρυτον εἴη τὴν φύσιν, ὡς ταῖς Μούσαις ἀντᾴδειν, παρ' ὧν εἰλήφει τὴν ᾠδήν, ἢ τῷ Ἀπόλλωνι ἐριδαίνειν ἐναντία τοξεύων, καὶ ταῦτα δοτῆρι ὄντι τῆς τοξικῆς.

7 ΠΛΑΤ. Τοῦτο μέν, ὦ γενναῖε, κατὰ τοὺς ῥήτορας εἴρηταί σοι· ἐναντιώτατον δ' οὖν ἐστί σοι τῷ πράγματι καὶ χαλεπωτέραν σου ἐπιδείκνυσι τὴν τόλμαν, εἴ γε τῇ ἀδικίᾳ καὶ ἀχαριστία πρόσεστιν, ὃς παρ' ἡμῶν τὰ τοξεύματα, ὡς φῄς, λαβὼν καθ' ἡμῶν ἐτόξευες, ἕνα τοῦτον ὑποθέμενος τὸν σκοπόν, ἅπαντας ἡμᾶς ἀγορεύειν κακῶς· τοιαῦτα παρὰ σοῦ ἀπειλήφαμεν ἀνθ' ὧν σοι τὸν λειμῶνα ἐκεῖνον ἀναπετάσαντες οὐκ ἐκωλύσαμεν δρέπεσθαι καὶ τὸ προκόλπιον ἐμπλησάμενον ἀπελθεῖν· ὥστε διά γε τοῦτο δίκαιος εἶ ἀποθανεῖν.

8 ΛΟΥΚ. Ὁρᾶτε; πρὸς ὀργὴν ἀκούετε καὶ οὐδὲν τῶν δικαίων προσίεσθε. καίτοι οὐκ ἂν ᾠήθην ποτὲ ὡς ὀργὴ Πλάτωνος ἢ Χρυσίππου ἢ Ἀριστοτέλους ἢ τῶν ἄλλων ὑμῶν καθίκοιτο ἄν, ἀλλά μοι ἐδοκεῖτε μόνοι δὴ πόρρω εἶναι τοῦ τοιούτου. πλὴν ἀλλὰ μὴ ἄκριτόν γε, ὦ θαυμάσιοι, μηδὲ πρὸ δίκης ἀποκτείνητέ με· ὑμέτερον γοῦν καὶ τοῦτο ἦν, μὴ βίᾳ μηδὲ κατὰ τὸ ἰσχυρότερον πολιτεύεσθαι, δίκῃ δὲ τὰ διάφορα διαλύεσθαι διδόντας λόγον καὶ δεχομένους ἐν τῷ μέρει. ὥστε δικαστὴν ἑλόμενοι κατηγορήσατε μὲν ὑμεῖς ἢ ἅμα πάντες ἢ ὁντινα ἂν χειροτονήσητε ὑπὲρ ἁπάντων, ἐγὼ δὲ ἀπολογήσομαι πρὸς τὰ ἐγκλήματα, καὶ ἦν μὲν ἀδικῶν φαίνωμαι καὶ

with the cognate acc., but see note to *V. H.* B, 30.

7. παρ' ἡμῶν τὰ τοξεύματα: cf. Aesch. *Fragm.* 139 (Sidgwick) where the wounded eagle says: *τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς ἁλισκόμεσθα*, and Aesop *Fab.* 4 *καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἰδίοις πτεροῖς ἐναποθνῄσκειν.* The same thought in *Bis Acc.* 29 *ἀγνῶμον γὰρ ἐπ' ἐμὲ τὴν ἐμὴν μάχαιραν ἀκονᾶν.*

τοῦτο περὶ ἐμοῦ γνῷ τὸ δικαστήριον, ὑφέξω δηλαδὴ τὴν ἀξίαν, ὑμεῖς δὲ βίαιον οὐδὲν τολμήσετε· ἢν δὲ τὰς εὐθύνας ὑποσχὼν καθαρὸς ὑμῖν καὶ ἀνεπίληπτος εὑρίσκωμαι, ἀφήσουσί με οἱ δικασταί, ὑμεῖς δὲ ἐς τοὺς ἐξαπατήσαντας ὑμᾶς καὶ παροξύναντας καθ' ἡμῶν τὴν ὀργὴν τρέψατε.

9 ΠΛΑΤ. Τοῦτ' ἐκεῖνο, ἐς πεδίον τὸν ἵππον, ὡς παρακρουσάμενος τοὺς δικαστὰς ἀπέλθῃς· φασὶ γοῦν ῥήτορά σε καὶ δικανικόν τινα εἶναι καὶ πανοῦργον ἐν τοῖς λόγοις. τίνα δὲ καὶ δικαστὴν ἐθέλεις γενέσθαι, ὄντινα μὴ σὺ δωροδοκήσας, οἷα πολλὰ ποιεῖτε, ἄδικα πείσεις ὑπὲρ σοῦ ψηφίσασθαι;

ΛΟΥΚ. Θαρρεῖτε τούτου γε ἕνεκα· οὐδένα τοιοῦτον διαιτητὴν ὕποπτον ἢ ἀμφίβολον ἀξιώσαιμ' ἂν γενέσθαι καὶ ὅστις ἀποδώσεταί μοι τὴν ψῆφον. ὁρᾶτε γοῦν, τὴν Φιλοσοφίαν αὐτὴν μεθ' ὑμῶν δικάστριαν ποιοῦμαι ἔγωγε.

ΠΛΑΤ. Καὶ τίς ἂν κατηγορήσειεν, εἴ γε ἡμεῖς δικάσομεν;

ΛΟΥΚ. Οἱ αὐτοὶ κατηγορεῖτε καὶ δικάζετε· οὐδὲν οὐδὲ τοῦτο δέδια. τοσοῦτον ὑπερφέρω τοῖς δικαίοις καὶ ἐκ περιουσίας ἀπολογήσεσθαι ὑπολαμβάνω.

10 ΠΛΑΤ. Τί ποιῶμεν, ὦ Πυθαγόρα καὶ Σώκρατες; ἔοικε γὰρ οὐκ ἄλογα ὁ ἀνὴρ προκαλεῖσθαι, δικάζεσθαι ἀξιῶν.

ΣΩΚ. Τί δ' ἄλλο ἢ βαδίζωμεν ἐπὶ τὸ δικαστήριον καὶ τὴν Φιλοσοφίαν παραλαβόντες ἀκούσωμεν ὅ τι καὶ ἀπολογήσεται; τὸ πρὸ δίκης γὰρ οὐχ ἡμέτερον, ἀλλὰ δεινῶς ἰδιωτικόν, ὀργίλων τινῶν ἀνθρώπων καὶ τὸ δίκαιον ἐν τῇ

9. **Τοῦτ' ἐκεῖνο**: *there's that old dodge again!* — **ἐς πεδίον τὸν ἵππον**: sc. *προκαλεῖσθαι*. And so of the horseman in Plato *Theaet.* 183 D *ἱππέας εἰς πεδίον προκαλεῖ Σωκράτη εἰς λόγους προκαλούμενος*. For the thought cf. Uncle Remus's *Br'er Rabbit:* "Bred and bawn in a brier patch!" — **τοσοῦτον . . . ἐκ περιουσίας**: *from such a surplus.*

10. **τὸ πρὸ δίκης γάρ**: *for this prejudicating way* is not our style; or sc. *ἀποκτείνειν*, and cf. §15 *πρὸ δίκης . . . ἀποκτενεῖτε*; — **δεινῶς ἰδιωτικόν**: *awfully unprofessional*, i.e. out of character for

χειρὶ τιθεμένων. παρέξομεν οὖν ἀφορμὰς τοῖς κακηγορεῖν ἐθέλουσι καταλεύσαντες ἄνδρα μηδὲ ἀπολογησάμενον ὑπὲρ ἑαυτοῦ, καὶ ταῦτα δικαιοσύνῃ χαίρειν αὐτοὶ λέγοντες. ἢ τί ἂν εἴποιμεν Ἀνύτου πέρι καὶ Μελήτου, τῶν ἐμοῦ κατηγορη-
150 σάντων, ἢ τῶν τότε δικαστῶν, εἰ οὗτος τεθνήξεται μηδὲ τὸ παράπαν ὕδατος μεταλαβών;

ΠΛΑΤ. Ἄριστα παραινεῖς, ὦ Σώκρατες· ὥστε ἀπίωμεν ἐπὶ τὴν Φιλοσοφίαν. ἣ δὲ δικασάτω, καὶ ἡμεῖς ἀγαπήσομεν οἷς ἂν ἐκείνη διαγνῷ.

11 ΛΟΥΚ. Εὖ γε, ὦ σοφώτατοι, ἀμείνω ταῦτα καὶ νομιμώ-
155 τερα. τοὺς μέντοι λίθους φυλάττετε, ὡς ἔφην· δεήσει γὰρ αὐτῶν μικρὸν ὕστερον ἐν τῷ δικαστηρίῳ. ποῦ δὲ τὴν Φιλοσοφίαν εὕροι τις ἄν; οὐ γὰρ οἶδα ἔνθα οἰκεῖ· καίτοι πολὺν ἐπλανήθην χρόνον ἀναζητῶν τὴν οἰκίαν, ὡς ξυγγενοίμην
160 αὐτῇ. εἶτα ἐντυγχάνων ἄν τισι τριβώνια περιβεβλημένοις καὶ πώγωνας βαθεῖς καθειμένοις παρ' αὐτῆς ἐκείνης ἥκειν φάσκουσιν, οἰόμενος εἰδέναι αὐτοὺς ἀνηρώτων· οἱ δὲ πολὺ μᾶλλον ἐμοῦ ἀγνοοῦντες ἢ οὐδ' ὅλως ἀπεκρίνοντό μοι, ὡς μὴ ἐλέγχοιντο οὐκ εἰδότες, ἢ ἄλλην θύραν ἀντ' ἄλλης ἀπεδεί-
165 κνυον. οὐδέπω γοῦν καὶ τήμερον ἐξευρεῖν δεδύνημαι τὴν
12 οἰκίαν. πολλάκις δὲ ἢ αὐτὸς εἰκάσας ἢ ξεναγήσαντός τινος ἦκον ἂν ἐπί τινας θύρας βεβαίως ἐλπίσας τότε γοῦν εὑρηκέναι, τεκμαιρόμενος τῷ πλήθει τῶν ἐσιόντων τε καὶ ἐξιόντων, ἁπάντων σκυθρωπῶν καὶ τὰ σχήματα εὐσταλῶν καὶ φρον-
170 τιστικῶν τὴν πρόσοψιν· μετὰ τούτων οὖν ξυμπαραβυσθεὶς καὶ αὐτὸς ἐσῆλθον. εἶτα ἑώρων γύναιόν τι οὐχ ἁπλοϊκόν, εἰ

philosophers. — **μηδὲ . . . ὕδατος μεταλαβών**: i.e. without a hearing. Cf. the references to the κλεψύδρα e.g. Lys. 23, 11–15 ἐπίλαβε τὸ ὕδωρ.

11. ἂν . . . ἀνηρώτων: G. 1296; H. 835; Gl. 461, *a*; B. 568. — **ἄλλην θύραν ἀντ' ἄλλης**: *door after door*. Cf. S. John 1, 16 χάριν ἀντὶ χάριτος and (perhaps) Theognis 344 (249) ἀντ' ἀνιῶν ἀνίας, *grief upon grief*. This meaning is also found with πρό, e.g. Ar. *Ach.* 325 γῆν πρὸ γῆς, *land after land*.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

κόσμιον τὴν ἀπὸ τοῦ σχήματος, τὴν προσηνῆ τὸ βλέμμα, τὴν ἐπὶ συννοίας ἠρέμα βαδίζουσαν;

ΛΟΥΚ. Πολλὰς ὁμοίας ὁρῶ τό τε σχῆμα καὶ τὸ βάδισμα καὶ τὴν ἀναβολήν. καίτοι μία πάντως ἥ γε ἀληθὴς Φιλοσοφία ἐστὶν ἐν αὐταῖς.

ΠΛΑΤ. Εὖ λέγεις. ἀλλὰ δηλώσει ἥτις ἐστὶ φθεγξαμένη μόνον.

14 ΦΙΛ. Παπαῖ· τί Πλάτων καὶ Χρύσιππος ἄνω καὶ Ἀριστοτέλης καὶ οἱ ἄλλοι πάντες, αὐτὰ δὴ τὰ κεφάλαιά μου τῶν μαθημάτων; τί αὖθις ἐς τὸν βίον; ἆρά τι ὑμᾶς ἐλύπει τῶν κάτω; ὀργιζομένοις γοῦν ἐοίκατε. καὶ τίνα τοῦτον ξυλλαβόντες ἄγετε; ἢ που τυμβωρύχος τις ἢ ἀνδροφόνος ἢ ἱερόσυλός ἐστι;

ΠΛΑΤ. Νὴ Δί', ὦ Φιλοσοφία, πάντων γε ἱεροσύλων ἀσεβέστατος, ὃς τὴν ἱερωτάτην σὲ κακῶς ἀγορεύειν ἐπεχείρησε καὶ ἡμᾶς ἅπαντας, ὁπόσοι τι παρὰ σοῦ μαθόντες τοῖς μεθ' ἡμᾶς καταλελοίπαμεν.

ΦΙΛ. Εἶτα ἠγανακτήσατε λοιδορησαμένου τινός, καὶ ταῦτα εἰδότες ἐμὲ οἷα πρὸς τῆς Κωμῳδίας ἀκούουσα ἐν τοῖς Διονυσίοις ὅμως φίλην τε αὐτὴν ἤγημαι καὶ οὔτε ἐδικασάμην οὔτε ἠτιασάμην προσελθοῦσα, ἐφίημι δὲ παίζειν τὰ εἰκότα καὶ τὰ ξυνήθη τῇ ἑορτῇ; οἶδα γὰρ ὡς οὐκ ἄν τι ὑπὸ σκώμματος

after primary tense see Introd. 35.— **τὴν ἀπὸ τοῦ σχήματος**: *the one so well gotten-up*. Cf. perhaps Ar. *Pax* 241 and Introd. 30. See App. The phrase ἀπὸ τοῦ σχήματος recurs often, e.g. *D. Mort.* 10, 8; *Nigr.* 24. For use of prep. cf. Theocr. 16, 49 θῆλυν ἀπὸ χροιᾶς, *feminine, to judge by complexion*. — **φθεγξαμένη μόνον**: *the first syllable she utters*.

14. **αὐτὰ τὰ κεφάλαια**: *the very leaders* (of the profession). Cf. *Philops.* 6 ὁρᾷς οἵους ἄνδρας σοί φημι, πανσόφους καὶ παναρέτους, ὅ τι περ τὸ κεφάλαιον αὐτὸ ἐξ ἑκάστης προαιρέσεως; *d' ye see what sort of men I'm telling you of, regular experts and perfect saints — in fact the very cream of the different schools?* The same in *Symp.* 10, but see note to *Vit. Auct.* 18. — **οἷα . . . ἀκούουσα**: *what-all Comedy calls me!* For ἀκούειν used with εὖ, κακῶς, etc., or with cognate acc., as pass. of λέγειν, see L. & S. s.v., III, 1. Cf. ἠγόρευσε κακῶς § 15. — **οὐκ . . . ὑπὸ σκώμματος χεῖρον**: so Socrates

χεῖρον γένοιτο, ἀλλὰ τοὐναντίον ὅπερ ἂν ᾖ καλόν, ὥσπερ τὸ χρυσίον ἀποσμώμενον τοῖς κόμμασι λαμπρότερον ἀποστίλβει καὶ φανερώτερον γίνεται. ὑμεῖς δ' οὐκ οἶδ' ὅπως ὀργίλοι καὶ ἀγανακτικοὶ γεγόνατε. τί δ' οὖν αὐτὸν ἄγχετε;

ΠΛΑΤ. Μίαν ἡμέραν ταύτην παραιτησάμενοι ἤκομεν ἐπ' αὐτόν, ὡς ὑπόσχῃ τὴν ἀξίαν ὧν δέδρακε· φῆμαι γὰρ ἡμῖν διήγγελλον οἷα ἔλεγεν ἐπιὼν ἐς τὰ πλήθη καθ' ἡμῶν.

ΦΙΛ. Εἶτα πρὸ δίκης οὐδὲ ἀπολογησάμενον ἀποκτενεῖτε; δῆλος γοῦν ἐστιν εἰπεῖν τι θέλων.

ΠΛΑΤ. Οὔκ, ἀλλ' ἐπὶ σὲ τὸ πᾶν ἀνεβαλόμεθα. καὶ σοὶ ὅ τι ἂν δοκῇ, τοῦτο ποιήσῃ τέλος τῆς δίκης.

ΦΙΛ. Τί φῄς σύ;

ΛΟΥΚ. Τοῦτο αὐτό, ὦ δέσποινα Φιλοσοφία, ἧπερ καὶ μόνῃ τἀληθὲς ἂν εὑρεῖν δύναιο· μόγις γοῦν εὑρόμην πολλὰ ἱκετεύσας τὸ σοὶ φυλαχθῆναι τὴν δίκην.

ΠΛΑΤ. Νῦν, ὦ κατάρατε, δέσποιναν αὐτὴν καλεῖς; πρῴην δὲ τὸ ἀτιμότατον Φιλοσοφίαν ἀπέφαινες ἐν τοσούτῳ θεάτρῳ ἀποκηρύττων κατὰ μέρη δύ' ὀβολῶν ἕκαστον εἶδος αὐτῆς τῶν λόγων.

ΦΙΛ. Ὁρᾶτε μὴ οὐ Φιλοσοφίαν οὗτός γε, ἀλλὰ γόητας ἄνδρας ἐπὶ τῷ ἡμετέρῳ ὀνόματι πολλὰ καὶ μιαρὰ πράττοντας ἠγόρευσε κακῶς.

ΠΛΑΤ. Εἴσῃ αὐτίκα, ἢν ἐθέλῃς ἀκούειν ἀπολογουμένου μόνον.

ΦΙΛ. Ἀπίωμεν ἐπ' Ἄρειον πάγον, μᾶλλον δὲ ἐς τὴν ἀκρόπολιν αὐτήν, ὡς ἂν ἐκ περιωπῆς ἅμα καταφανῆ πάντα εἴη τὰ

seems to have felt no rancor towards Aristophanes on account of the *Clouds*. See Humphreys, Introd. to *Clouds*, § 10, note. — **διήγγελλον**: note voice. **Φῆμαι**, although pl., almost personified as in sing.

15. **εὑρόμην**: *I procured for myself.* — **ἐν τοσούτῳ θεάτρῳ**: *in the presence of such a crowd of spectators*; so § 36 fin. *by the house.* — **ὡς ἂν εἴη**: see Introd. 35 (*b*). — **ἐκ περιωπῆς**: see note to *Char.* 2.

16 ἐν τῇ πόλει. ὑμεῖς δέ, ὦ φίλαι, ἐν τῇ Ποικίλῃ τέως περιπατήσατε· ἥξω γὰρ ὑμῖν ἐκδικάσασα τὴν δίκην.

ΛΟΥΚ. Τίνες δέ εἰσιν, ὦ Φιλοσοφία; πάνυ γάρ μοι κόσμιαι καὶ αὗται δοκοῦσιν.

ΦΙΛ. Ἀρετὴ μὲν ἡ ἀνδρώδης αὕτη, Σωφροσύνη δὲ ἐκείνη καὶ Δικαιοσύνη ἡ παρ' αὐτήν. ἡ δὲ προηγουμένη Παιδεία, ἡ ἀμυδρὰ δὲ αὕτη καὶ ἀσαφὴς τὸ χρῶμα ἡ Ἀλήθειά ἐστιν.

ΛΟΥΚ. Οὐχ ὁρῶ ἥντινα καὶ λέγεις.

ΦΙΛ. Τὴν ἀκαλλώπιστον ἐκείνην οὐχ ὁρᾷς, τὴν γυμνήν, τὴν ὑποφεύγουσαν ἀεὶ καὶ διολισθάνουσαν;

ΛΟΥΚ. Ὁρῶ νῦν μόγις. ἀλλὰ τί οὐχὶ καὶ ταύτας ἄγεις, ὡς πλῆρες γένοιτο καὶ ἐντελὲς τὸ ξυνέδριον; τὴν Ἀλήθειαν δέ γε καὶ ξυνήγορον ἀναβιβάσασθαι πρὸς τὴν δίκην βούλομαι.

ΦΙΛ. Νὴ Δία, ἀκολουθήσατε καὶ ὑμεῖς· οὐ χαλεπὸν γὰρ μίαν δικάσαι δίκην, καὶ ταῦτα περὶ τῶν ἡμετέρων ἐσομένην.

17 ΑΛΗΘ. Ἄπιτε ὑμεῖς· ἐγὼ γὰρ οὐδὲν δέομαι ἀκούειν ἃ πάλαι οἶδα ὁποῖά ἐστιν.

ΦΙΛ. Ἀλλ' ἡμῖν, ὦ Ἀλήθεια, ἐν δέοντι ξυνδικάζοις ἄν, ὡς καὶ καταμηνύοις ἕκαστα.

ΑΛΗΘ. Οὐκοῦν ἐπάγωμαι καὶ τὼ θεραπαινιδίω τούτω συνοικοτάτω μοι ὄντε;

ΦΙΛ. Καὶ μάλα ὁπόσας ἂν ἐθέλῃς.

ΑΛΗΘ. Ἕπεσθον, ὦ Ἐλευθερία καὶ Παρρησία, μεθ' ἡμῶν, ὡς τὸν δείλαιον τουτονὶ ἀνθρωπίσκον, ἐραστὴν ἡμέτερον ὄντα, κινδυνεύοντα ἐπ' οὐδεμιᾷ προφάσει δικαίᾳ,—ἄν γε σῶσαι δυνηθῶμεν· σὺ δέ, ὦ Ἔλεγχε, αὐτοῦ περίμενε.

ΛΟΥΚ. Μηδαμῶς, ὦ δέσποινα, ἡκέτω δὲ καὶ οὗτος, εἰ καί τις ἄλλος· οὐ γὰρ τοῖς τυχοῦσι θηρίοις προσπολεμῆσαι

16. ἡ δὲ προηγουμένη Παιδεία: *the one in front is Culture.* —**ὡς . . . γένοιτο**: see Introd. 35 (*a*).

17. ὡς . . . δικαίᾳ,—: *ὡς* is final; sc. *σώσωμεν* or another *σῶσαι δυνηθῶμεν*. See App. —**τὸν δείλαιον τουτονὶ**

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

20 ΦΙΛ. Εὖ λέγεις· ἄλλως γοῦν τοῦτο ἠρόμην. ἡ τέχνη δέ σοι τίς; ἄξιον γὰρ ἐπίστασθαι τοῦτό γε.

ΛΟΥΚ. Μισαλαζών εἰμι καὶ μισογόης καὶ μισοψευδὴς καὶ μισότυφος καὶ μισῶ πᾶν τὸ τοιουτῶδες τῶν μιαρῶν ἀνθρώπων· πάνυ δὲ πολλοί εἰσιν, ὡς οἶσθα.

ΦΙΛ. Ἡράκλεις, πολυμισῆ τινα μέτει τὴν τέχνην.

ΛΟΥΚ. Εὖ λέγεις· ὁρᾷς γοῦν ὁπόσοις ἀπεχθάνομαι καὶ ὡς κινδυνεύω δι' αὐτήν. οὐ μὴν ἀλλὰ καὶ τὴν ἐναντίαν αὐτῇ πάνυ ἀκριβῶς οἶδα, λέγω δὲ τὴν ἀπὸ τοῦ φιλῶ τὴν ἀρχὴν ἔχουσαν· φιλαλήθης τε γὰρ καὶ φιλόκαλος καὶ φιλαπλοϊκὸς καὶ ὅσα τῷ φιλεῖσθαι ξυγγενῆ· πλὴν ἀλλ' ὀλίγοι πάνυ ταύτης ἄξιοι τῆς τέχνης. οἱ δὲ ὑπὸ τῇ ἐναντίᾳ ταττόμενοι καὶ τῷ μίσει οἰκειότεροι πεντακισμύριοι. κινδυνεύω τοιγαροῦν τὴν μὲν ὑπ' ἀργίας ἀπομαθεῖν ἤδη, τὴν δὲ πάνυ ἠκριβωκέναι.

ΦΙΛ. Καὶ μὴν οὐκ ἐχρῆν· τοῦ γὰρ αὐτοῦ καὶ τάδε, φασί, καὶ τάδε· ὥστε μὴ διαίρει τὼ τέχνα· μία γὰρ ἐστὸν δύ' εἶναι δοκοῦσαι.

ΛΟΥΚ. Ἄμεινον σὺ ταῦτα οἶσθα, ὦ Φιλοσοφία. τὸ μέντοι ἐμὸν τοιοῦτόν ἐστιν, οἷον τοὺς μὲν πονηροὺς μισεῖν, ἐπαινεῖν δὲ τοὺς χρηστοὺς καὶ φιλεῖν.

21 ΦΙΛ. Ἄγε δή, πάρεσμεν γὰρ ἔνθα ἐχρῆν· ἐνταῦθά που ἐν τῷ προνάῳ τῆς Πολιάδος δικάσωμεν. ἡ Ἱέρεια διάθες ἡμῖν τὰ βάθρα, ἡμεῖς δὲ ἐν τοσούτῳ προσκυνήσωμεν τὴν θεόν.

20. ἄλλως: *heedlessly*. Cf. Ar. *Vesp.* 85 ἄλλως φλυαρεῖτε, *you're talking random nonsense*. — **φιλῶ**: cf. Ar. *Vesp.* 77 ff. ἀλλὰ φιλο μέν ἐστιν ἀρχὴ τοῦ κακοῦ. See App. — **πάνυ ἠκριβωκέναι**: *to be a perfect connoisseur in*.

21. τῷ προνάῳ τῆς Πολιάδος: the pronaos of the east front of the Parthenon seems to be referred to. There Parrhesiades makes his prayer to the goddess, i.e. the great chryselephantine statue of Athena within the Parthenon (see, however, note on ἐπίσκοπος below), while the priestess is arranging the benches; and later, § 39, offers his thanksgiving to the winged Nike on Athena's outstretched hand. See Harrison & Verrall, *Mythol. and Monuments of Anc. Athens*, p. 464, for a discussion of this passage and certain inferences drawn from it. — **ἡ Ἱέρεια**: here "the nominative with the article

ΛΟΥΚ. Ὦ Πολιάς, ἐλθέ μοι κατὰ τῶν ἀλαζόνων σύμμαχος ἀναμνησθεῖσα ὁπόσα ἐπιορκούντων ὁσημέραι ἀκούεις αὐτῶν· καὶ ἃ πράττουσι δὲ μόνη ὁρᾷς ἅτε δὴ ἐπίσκοπος οὖσα. νῦν καιρὸς ἀμύνασθαι αὐτούς. ἐμὲ δὲ ἢν που κρατούμενον ἴδῃς καὶ πλείους ὦσιν αἱ μέλαιναι, σὺ προσθεῖσα τὴν σαυτῆς σῷζέ με.

ΦΙΛ. Εἶεν· ἡμεῖς μὲν ὑμῖν καὶ δὴ καθήμεθα ἕτοιμοι ἀκούειν τῶν λόγων, ὑμεῖς δὲ προελόμενοί τινα ἐξ ἁπάντων, ὅστις ἄριστα κατηγορήσειν δοκεῖ, ξυνείρετε τὴν κατηγορίαν καὶ διελέγχετε· πάντας γὰρ ἅμα λέγειν ἀμήχανον. σὺ δέ, ὦ Παρρησιάδη, ἀπολογήσῃ τὸ μετὰ τοῦτο.

ΧΡΥΣ. Τίς οὖν ἂν ἐπιτηδειότατος ἐξ ἡμῶν γένοιτο πρὸς τὴν δίκην; σύ, ὦ Πλάτων. ἥ τε γὰρ μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ καὶ τὸ κεχαρισμένον καὶ πειθοῦς μεστὸν ἥ τε ξύνεσις καὶ τὸ ἀκριβὲς καὶ τὸ ἐπαγωγὸν ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν· ὥστε τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. νῦν ἀναμνήσθητι πάντων ἐκείνων καὶ ξυμφόρει ἐς τὸ αὐτό, εἴ τί σοι πρὸς Γοργίαν ἢ Πῶλον ἢ Ἱππίαν ἢ Πρόδικον εἴρηται·

315 ΛΟΥΚ. Ὦ Πολιάς, ἐλθέ μοι κατὰ τῶν ἀλαζόνων σύμμαχος ἀναμνησθεῖσα ὁπόσα ἐπιορκούντων ὁσημέραι ἀκούεις αὐτῶν· καὶ ἃ πράττουσι δὲ μόνη ὁρᾷς ἅτε δὴ ἐπίσκοπος οὖσα. νῦν καιρὸς ἀμύνασθαι αὐτούς. ἐμὲ δὲ ἢν που κρατούμενον ἴδῃς καὶ πλείους ὦσιν αἱ μέλαιναι, σὺ προσθεῖσα
320 τὴν σαυτῆς σῷζέ με.

22 ΦΙΛ. Εἶεν· ἡμεῖς μὲν ὑμῖν καὶ δὴ καθήμεθα ἕτοιμοι ἀκούειν τῶν λόγων, ὑμεῖς δὲ προελόμενοί τινα ἐξ ἁπάντων, ὅστις ἄριστα κατηγορήσειν δοκεῖ, ξυνείρετε τὴν κατηγορίαν καὶ διελέγχετε· πάντας γὰρ ἅμα λέγειν ἀμήχανον. σὺ δέ, ὦ
325 Παρρησιάδη, ἀπολογήσῃ τὸ μετὰ τοῦτο.

ΧΡΥΣ. Τίς οὖν ἂν ἐπιτηδειότατος ἐξ ἡμῶν γένοιτο πρὸς τὴν δίκην; σύ, ὦ Πλάτων. ἥ τε γὰρ μεγαλόνοια θαυμαστὴ καὶ ἡ καλλιφωνία δεινῶς Ἀττικὴ καὶ τὸ κεχαρισμένον καὶ πειθοῦς μεστὸν ἥ τε ξύνεσις καὶ τὸ ἀκριβὲς καὶ τὸ ἐπαγωγὸν
330 ἐν καιρῷ τῶν ἀποδείξεων, πάντα ταῦτά σοι ἀθρόα πρόσεστιν· ὥστε τὴν προηγορίαν δέχου καὶ ὑπὲρ ἁπάντων εἰπὲ τὰ εἰκότα. νῦν ἀναμνήσθητι πάντων ἐκείνων καὶ ξυμφόρει ἐς τὸ αὐτό, εἴ τί σοι πρὸς Γοργίαν ἢ Πῶλον ἢ Ἱππίαν ἢ Πρόδικον εἴρηται·

is . . . in apposition with an . . . unexpressed vocative which is identical with the subject of the verb." Gildersleeve, *S.C.G.* 13. Cf. Ar. *Ran.* 521 *ὁ παῖς, ἀκολούθει δεῦρο.* — **ἐπίσκοπος**: this might seem inconsistent with the assumption just made, and might seem to refer to the great bronze statue, the so-called Athena Promachos, standing in the open air northwest of the Parthenon, and not visible from the pronaos on the east; but Solon had made this almost an official epithet of their patron saint in his *Ὑποθῆκαι εἰς Ἀθηναίους* 3:

τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.

— **αἱ μέλαιναι** (sc. *ψῆφοι*): instead of the usual *αἱ τετρυπημέναι*. — **προσθεῖσα τὴν σαυτῆς**: a tie vote only was necessary for acquittal. The deciding ballot cast by Athena at the trial of Orestes (Aesch. *Eum.* 734 ff.) became proverbial. In *Harmon.* 3 Lucian calls it simply *τὴν τῆς Ἀθηνᾶς*. As no "repeating" was allowed, Athena's sphere of usefulness was limited.

22. **διελέγχετε**: *make good your proof.* — **Πλάτων**: this passage is not without value as a summary of the characteristics of the Platonic dialogues. Note that Protagoras is not mentioned with the other sophists. —

δεινότερος οὗτός ἐστιν. ἐπίπαττε οὖν καὶ τῆς εἰρωνείας καὶ τὰ κομψὰ ἐκεῖνα καὶ συνεχῆ ἐρώτα, κἄν σοι δοκῇ, κἀκεῖνό που παράβυσον, ὡς ὁ μέγας ἐν οὐρανῷ Ζεὺς πτηνὸν ἅρμα ἐλαύνων ἀγανακτήσειεν ἄν, εἰ μὴ οὗτος ὑπόσχοι τὴν δίκην.

23 ΠΛΑΤ. Μηδαμῶς, ἀλλά τινα τῶν σφοδροτέρων προχειρισώμεθα, Διογένην τοῦτον ἢ Ἀντισθένην ἢ Κράτητα ἢ καὶ σέ, ὦ Χρύσιππε· οὐ γὰρ δὴ κάλλους ἐν τῷ παρόντι καὶ δεινότητος συγγραφικῆς ὁ καιρός, ἀλλά τινος ἐλεγκτικῆς καὶ δικανικῆς παρασκευῆς· ῥήτωρ δὲ ὁ Παρρησιάδης ἐστίν.

ΔΙΟΓ. Ἀλλ' ἐγὼ αὐτοῦ κατηγορήσω· καὶ γὰρ οὐδὲ πάνυ μακρῶν οἴομαι τῶν λόγων δεῖσθαι. καὶ ἄλλως δὲ ὑπὲρ ἅπαντας ὕβρισμαι δύ' ὀβολῶν πρῴην ἀποκεκηρυγμένος.

ΠΛΑΤ. Ὁ Διογένης, ὦ Φιλοσοφία, ἐρεῖ τὸν λόγον ὑπὲρ ἁπάντων. μέμνησο δέ, ὦ γενναῖε, μὴ τὰ σεαυτοῦ μόνον πρεσβεύειν ἐν τῇ κατηγορίᾳ, τὰ κοινὰ δὲ ὁρᾶν· εἰ γάρ τι καὶ πρὸς ἀλλήλους διαφερόμεθα ἐν τοῖς λόγοις, σὺ δὲ τοῦτο μὲν μὴ ἐξέταζε, μηδ' ὅστις ἐστὶν ὁ ἀληθέστερος νῦν λέγε, ὅλως δὲ ὑπὲρ φιλοσοφίας αὐτῆς ἀγανάκτει περιυβρισμένης καὶ κακῶς ἀκουούσης ἐν τοῖς Παρρησιάδου λόγοις, καὶ τὰς προαιρέσεις ἀφεὶς ἐν αἷς διαλλάττομεν, ὃ κοινὸν ἅπαντες ἔχομεν, τοῦτο ὑπερμάχει. ὁρᾷς; σὲ μόνον προεστησάμεθα καὶ ἐν σοὶ τὰ πάντων ἡμῶν νῦν κινδυνεύεται, ἢ σεμνότατα δόξαι ἢ τοιαῦτα πιστευθῆναι οἷα οὗτος ἀπέφηνε.

κἄν . . . παράβυσον: *and, if you think best, also stuff in somewhere that famous passage.* — **ὡς ὁ μέγας** κτλ.: this passage of Plato's occurs *Phaedr.* 246 E. Lucian refers to it *Rhet. Praec.* 26, and in *Bis Acc.* 33 Dialogus shows just how to "work it in."

23. σὺ δὲ τοῦτο: this use of δέ is especially Homeric, but was occasionally used also by Herodotus and Attic writers, e.g. Xen. *Cyr.* 5, 5, 21 ἀλλ' εἰ μηδὲ τοῦτο, ἔφη, βούλει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε. Cf. Kühner-Blass II, § 516, 5. — **προαιρέσεις**: see note on *Vit. Auct.* 1. — **τοῦτο ὑπερμάχει**: the Mss. and scholiast agree in giving τοῦτο. The gen. is the usual construction.

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

δεινότητος ἢ ἀκμῆς ἐπεπόριστο ἐν τοῖς λόγοις, τοῦτο πᾶν ἐφ' ἡμᾶς συσκευασάμενος οὐ παύεται μὲν ἀγορεύων κακῶς γόητας καὶ ἀπατεῶνας ἀποκαλῶν, τὰ πλήθη δὲ ἀναπείθων καταγελᾶν ἡμῶν καὶ καταφρονεῖν ὡς τὸ μηδὲν ὄντων· μᾶλλον δὲ καὶ μισεῖσθαι πρὸς τῶν πολλῶν ἤδη πεποίηκεν αὐτούς τε ἡμᾶς καὶ σὲ τὴν Φιλοσοφίαν, φληνάφους καὶ λήρους ἀποκαλῶν τὰ σὰ καὶ τὰ σπουδαιότατα ὧν ἡμᾶς ἐπαίδευσας ἐπὶ χλευασμῷ διεξιών, ὥστε αὐτὸν μὲν κροτεῖσθαι καὶ ἐπαινεῖσθαι πρὸς τῶν θεατῶν, ἡμᾶς δὲ ὑβρίζεσθαι· φύσει γὰρ τοιοῦτόν ἐστιν ὁ πολὺς λεώς· χαίρουσι τοῖς ἀποσκώπτουσι καὶ λοιδορουμένοις, καὶ μάλισθ' ὅταν τὰ σεμνότατα εἶναι δοκοῦντα διασύρηται, ὥσπερ ἀμέλει καὶ πάλαι ἔχαιρον Ἀριστοφάνει καὶ Εὐπόλιδι Σωκράτην τουτονὶ ἐπὶ χλευασίᾳ παράγουσιν ἐπὶ τὴν σκηνὴν καὶ κωμῳδοῦσιν ἀλλοκότους τινὰς περὶ αὐτοῦ κωμῳδίας. καίτοι ἐκεῖνοι μὲν καθ' ἑνὸς ἀνδρὸς ἐτόλμων τοιαῦτα καὶ ἐν Διονύσου, ἐφειμένον αὐτὸ δρᾶν, καὶ τὸ σκῶμμα μέρος ἐδόκει τῆς ἑορτῆς, καὶ ὁ θεὸς ἴσως χαίρει φιλόγελώς τις ὤν.

26 ὃ δὲ τοὺς ἀρίστους συγκαλῶν, ἐκ πολλοῦ φροντίσας καὶ παρασκευασάμενος καὶ βλασφημίας τινὰς ἐς παχὺ βιβλίον ἐγγράψας μεγάλῃ τῇ φωνῇ ἀγορεύει κακῶς Πλάτωνα, Πυθαγόραν, Ἀριστοτέλην, Χρύσιππον ἐκεῖνον, ἐμὲ καὶ ὅλως ἅπαντας οὔτε ἑορτῆς ἐφιείσης οὔτε ἰδίᾳ τι πρὸς ἡμῶν παθών· εἶχε γὰρ ἄν τι συγγνώμην αὐτῷ τὸ πρᾶγμα, εἰ ἀμυνόμενος ἀλλὰ μὴ ἄρχων αὐτὸς ἔδρασε. καὶ τὸ πάντων δεινότατον, ὅτι ταῦτα ποιῶν καὶ ὑπὸ τὸ σὸν ὄνομα, ὦ Φιλοσοφία, ὑποδύεται καὶ ὑπελθὼν τὸν Διάλογον ἡμέτερον οἰκεῖον ὄντα, τούτῳ

cf. Introd., p. x f. — **δεινότητος**: *cleverness.* An especial characteristic of Demosthenes. Dionysius of Halicarnassus wrote a treatise Περὶ τῆς δεινότητος Δημοσθένους. — **ἀκμῆς**: *vigor.* — **ἐπεπόριστο**: *had stored up.* For tense see Introd. 34 (*a*). — **τὸ μηδέν**: *naught.* Cf. Soph. *O. T.* 1187 ὡς ὑμᾶς ἴσα καὶ τὸ μηδὲν ζώσας ἐναριθμῶ. — **ἐν Διονύσου**: sc. θεάτρῳ. — **ἐφειμένον**: acc. abs. G. 1569; H. 973; Gl. 591; B. 658.

26. **ἐφιείσης**: *licensing.* ἐπιούσης (the

ξυναγωνιστῇ καὶ ὑποκριτῇ χρῆται καθ' ἡμῶν, ἔτι καὶ Μένιππον ἀναπείσας ἑταῖρον ἡμῶν ἄνδρα ξυγκωμῳδεῖν αὐτῷ τὰ πολλά, ὃς μόνος οὐ πάρεστιν οὐδὲ κατηγορεῖ μεθ' ἡμῶν,
27 προδοὺς τὸ κοινόν. ἀνθ' ὧν ἁπάντων ἄξιόν ἐστιν ὑποσχεῖν
410 αὐτὸν τὴν δίκην. ἢ τί γὰρ ἂν εἰπεῖν ἔχοι τὰ σεμνότατα διασύρας ἐπὶ τοσούτων μαρτύρων; χρήσιμον γοῦν καὶ πρὸς ἐκείνους τὸ τοιοῦτον, εἰ θεάσαιντο αὐτὸν κολασθέντα, ὡς μηδὲ ἄλλος τις ἔτι καταφρονοίη φιλοσοφίας· ἐπεὶ τό γε τὴν ἡσυχίαν ἄγειν καὶ ὑβριζόμενον ἀνέχεσθαι οὐ μετριότητος,
415 ἀλλ' ἀνανδρίας καὶ εὐηθείας εἰκότως ἂν νομίζοιτο. τὰ γὰρ τελευταῖα τίνι φορητά; ὃς καθάπερ τὰ ἀνδράποδα παραγαγὼν ἡμᾶς ἐπὶ τὸ πωλητήριον καὶ κήρυκα ἐπιστήσας ἀπημπόλησεν, ὥς φασι, τοὺς μὲν ἐπὶ πολλῷ, ἐνίους δὲ μνᾶς Ἀττικῆς, ἐμὲ δὲ ὁ παμπονηρότατος οὗτος δύ' ὀβολῶν· οἱ παρόντες δὲ
420 ἐγέλων. ἀνθ' ὧν γε αὐτοί τε ἀνεληλύθαμεν ἀγανακτήσαντες καὶ σὲ ἀξιοῦμεν τιμωρήσειν ἡμῖν τὰ ἔσχατα ὑβρισμένοις.

28 ΑΝΑΒ. Εὖ γε, ὦ Διόγενες, ὑπὲρ ἁπάντων καλῶς καὶ ὁπόσα ἐχρῆν ἅπαντα εἴρηκας.

ΦΙΛ. Παύσασθε ἐπαινοῦντες· ἔγχει τῷ ἀπολογουμένῳ.
425 σὺ δέ, ὦ Παρρησιαδη, λέγε ἤδη ἐν τῷ μέρει· σοὶ γὰρ τὸ νῦν ῥεῖ. μὴ μέλλε οὖν.

29 ΠΑΡΡ. Οὐ πάντα μου, ὦ Φιλοσοφία, κατηγόρησε Διογένης, ἀλλὰ τὰ πλείω καὶ ὅσα ἦν χαλεπώτερα οὐκ οἶδ' ὅ τι παθὼν παρέλιπεν. ἐγὼ δὲ τοσούτου δεω ἔξαρνος γενέσθαι
430 ὡς οὐκ εἶπον αὐτά, ἢ ἀπολογίαν τινὰ μεμελετηκὼς ἀφῖχθαι, ὥστε καὶ εἴ τινα ἢ οὗτος ἀπεσιώπησεν ἢ ἐγὼ μὴ πρότερον ἔφθασα εἰρηκώς, νῦν προσθήσειν μοι δοκῶ· οὕτω γὰρ ἂν

common reading) would mean *coming on*. See App. — **Διάλογον**: see Introd., p. xi. — **Μένιππον**: see *D. Mort.* p. 189.

27. ὡς . . . καταφρονοίη: optative by assimilation although in primary sequence, i.e. **χρήσιμον . . .** sc. **ἂν εἴη**. See GMT. 180, II (*b*) and 176, B.

28. Παύσασθε ἐπαινοῦντες: *silence in the Court!* — **ἔγχει**: see Dict. Antiq. s.v. "Horologium."

μάθοις οὔστινας ἀπεκήρυττον καὶ κακῶς ἠγόρευον ἀλαζόνας καὶ γόητας ἀποκαλῶν· καί μοι μόνον τοῦτο παραφυλάττετε, εἰ ἀληθῆ περὶ αὐτῶν ἐρῶ. εἰ δέ τι βλάσφημον ἢ τραχὺ φαίνοιτο ἔχων ὁ λόγος, οὐ τὸν διελέγχοντα ἐμέ, ἀλλ' ἐκείνους ἄν, οἶμαι, δικαιότερον αἰτιάσαισθε τοιαῦτα ποιοῦντας. ἐγὼ γὰρ ἐπειδὴ τάχιστα ξυνεῖδον ὁπόσα τοῖς ῥητορεύουσι τὰ δυσχερῆ ἀναγκαῖον προσεῖναι, ἀπάτην καὶ ψεῦδος καὶ θρασύτητα καὶ βοὴν καὶ ὠθισμοὺς καὶ μυρία ἄλλα, ταῦτα μέν, ὥσπερ εἰκὸς ἦν, ἀπέφυγον, ἐπὶ δὲ τὰ σά, ὦ Φιλοσοφία, καλὰ ὁρμήσας ἠξίουν ὁπόσον ἔτι μοι λοιπὸν τοῦ βίου καθάπερ ἐκ ζάλης καὶ κλύδωνος ἐς εὔδιόν τινα λιμένα σπεύσας ὑπὸ σοὶ σκεπόμενος
30 καταβιῶναι. κἀπειδὴ μόνον παρέκυψα ἐς τὰ ὑμέτερα, σὲ μέν, ὥσπερ ἀναγκαῖον ἦν, καὶ τούσδε ἅπαντας ἐθαύμαζον ἀρίστου βίου νομοθέτας ὄντας καὶ τοῖς ἐπ' αὐτὸν ἐπειγομένοις χεῖρα ὀρέγοντας, τὰ κάλλιστα καὶ ξυμφορώτατα παραινοῦντας, εἴ τις μὴ παραβαίνοι αὐτὰ μηδὲ διολισθάνοι, ἀλλ' ἀτενὲς ἀποβλέπων ἐς τοὺς κανόνας οὓς προτεθείκατε, πρὸς τούτους ῥυθμίζοι καὶ ἀπευθύνοι τὸν ἑαυτοῦ βίον, ὅπερ νὴ Δία καὶ τῶν
31 καθ' ἡμᾶς αὐτοὺς ὀλίγοι ποιοῦσιν. ὁρῶν δὲ πολλοὺς οὐκ ἔρωτι φιλοσοφίας ἐχομένους, ἀλλὰ δόξης μόνον τῆς ἀπὸ τοῦ πράγματος ἐφιεμένους, καὶ τὰ μὲν πρόχειρα ταῦτα καὶ δημόσια καὶ ὁπόσα παντὶ μιμεῖσθαι ῥᾴδιον εὖ μάλα ἐοικότας

29. **ἀπεκήρυττον**: *I offered at auction.* No sale was *effected* in the case of three philosophers. Cf. *Vit. Auct.* 12 and 14. — **καθάπερ ἐκ ζάλης . . . σκεπόμενος καταβιῶναι**: a Platonic reminiscence. In *Rep.* 496 D the covert from the storm of wind, dust, and rain is a wall, *οἷον ἐν χειμῶνι κονιορτοῦ καὶ ζάλης ὑπὸ πνεύματος φερομένου ὑπὸ τειχίον ἀποστάς, . . . καθαρὸς ἀδικίας τε καὶ ἀνοσίων ἔργων τόν τε ἐνθάδε βίον βιώσεται.* — **σκεπόμενος**: frequent in late prose, e.g. *D. Mort.* 10, 8; *Tim.* 21. — **καταβιῶναι**: note force of *κατά* (like *ἀπό* in *ἀπομάχομαι, I fight it out.* Lys. *adv. Sim.* 25). See Plato *Rep.* 578 C (*ὃς ἂν τυραννικὸς ὢν*) *μὴ ἰδιώτην βίον καταβιῷ . . . is prevented from completing his private life;* also Plato *Protag.* 355 A and Luc. *V.H.* A 12 *εὐδαιμονέστατα παρ' ἐμοὶ καταβιώσεσθε.*

30. **τῶν καθ' ἡμᾶς**: *men of our day* (like *τὰ ἐπ' ἐμεῦ*, Hdt. 1, 5), but in *Rhet. Praec.* 11 *men of our pattern.*

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

οὐ γὰρ παρὰ ζῶντας ὑμᾶς ἡ ἐξέτασις αὐτοῦ ἐγίγνετο, ἀλλ' ὑμεῖς μὲν ἐκποδών, ἐκεῖνον δὲ ἑώρων σαφῶς ἅπαντες δεινὰ καὶ ἄσεμνα ἐπιτηδεύοντα, ὥστε ἐρήμην ἡλίσκεσθε μετ' αὐ-
33 τοῦ καὶ ἐπὶ τὴν ὁμοίαν διαβολὴν συγκατεσπᾶσθε. ταῦτα
485 οὐκ ἤνεγκα ὁρῶν ἔγωγε, ἀλλὰ ἤλεγχον αὐτοὺς καὶ διέκρινον ἀφ' ὑμῶν· ὑμεῖς δέ, τιμᾶν ἐπὶ τούτοις δέον, ἐς δικαστήριον ἄγετε. οὐκοῦν ἤν τινα καὶ τῶν μεμυημένων ἰδὼν ἐξαγορεύοντα τοῖν θεοῖν τὰ ἀπόρρητα καὶ ἐξορχούμενον ἀγανακτήσω καὶ διελέγξω, ἐμὲ τὸν ἀδικοῦντα ἡγήσεσθε εἶναι;
490 ἀλλ' οὐ δίκαιον. ἐπεὶ καὶ οἱ ἀθλοθέται μαστιγοῦν εἰώθασιν, ἤν τις ὑποκριτὴς Ἀθηνᾶν ἢ Ποσειδῶνα ἢ τὸν Δία ὑποδεδυκὼς μὴ καλῶς ὑποκρίνοιτο μηδὲ κατ' ἀξίαν τῶν θεῶν, καὶ οὐ δή που ὀργίζονται αὐτοῖς ἐκεῖνοι, ὅτι τὸν περικείμενον αὐτῶν τὰ προσωπεῖα καὶ τὸ σχῆμα ἐνδεδυκότα ἐπέτρεψαν παίειν
495 τοῖς μαστιγοφόροις, ἀλλὰ καὶ ἥδοιντ' ἄν, οἶμαι, μαστιγουμένων· οἰκέτην μὲν γὰρ ἢ ἄγγελόν τινα μὴ δεξιῶς ὑποκρίνασθαι μικρὸν τὸ πταῖσμα, τὸν Δία δὲ ἢ τὸν Ἡρακλέα μὴ κατ' ἀξίαν ἐπιδείξασθαι τοῖς θεαταῖς ἀποτρόπαιον ὡς αἰ-
34 σχρόν. καὶ γὰρ αὖ καὶ τόδε πάντων ἀτοπώτατόν ἐστιν, ὅτι
500 τοὺς μὲν λόγους ὑμῶν πάνυ ἀκριβοῦσιν οἱ πολλοὶ αὐτῶν, καθάπερ δὲ ἐπὶ τούτῳ μόνον ἀναγινώσκοντες αὐτοὺς καὶ μελετῶντες, ὡς τἀναντία ἐπιτηδεύοιεν, οὕτως βιοῦσιν· πάντα μὲν γὰρ ὅσα φασίν, οἷον χρημάτων καταφρονεῖν καὶ δόξης καὶ μόνον τὸ καλὸν οἴεσθαι ἀγαθὸν καὶ ἀόργητον εἶναι
505 καὶ τῶν λαμπρῶν τούτων ὑπεροράν καὶ ἐξ ἰσοτιμίας αὐτοῖς διαλέγεσθαι, καλά, ὦ θεοί, καὶ σοφὰ καὶ θαυμάσια λίαν ὡς ἀληθῶς. οἳ δὲ καὶ αὐτὰ ταῦτα ἐπὶ μισθῷ διδάσκουσι καὶ τοὺς πλουσίους τεθήπασι καὶ πρὸς τὸ ἀργύριον κεχήνασιν, ὀργιλώτεροι μὲν τῶν κυνιδίων ὄντες, δειλότεροι δὲ

33. **ἤν τις . . . ὑποκρίνοιτο**: see Introd. 36 (*a*). — **ἀποτρόπαιον ὡς αἰσχρόν**: *Heaven help us, how disgraceful that is!* Cf. ὑπερφυὲς ὡς and mirum quam.

τῶν λαγωῶν, κολακευτικώτεροι δὲ τῶν πιθήκων, ἀσελγέστεροι δὲ τῶν ὄνων, ἁρπακτικώτεροι δὲ τῶν γαλῶν, φιλονεικότεροι δὲ τῶν ἀλεκτρυόνων. τοιγαροῦν γέλωτα ὀφλισκάνουσιν ὠθιζόμενοι ἐπὶ ταῦτα καὶ περὶ τὰς τῶν πλουσίων θύρας ἀλλήλους παρωθούμενοι, δεῖπνα πολυάνθρωπα δειπνοῦντες καὶ ἐν αὐτοῖς τούτοις ἐπαινοῦντες φορτικῶς καὶ πέρα τοῦ καλῶς ἔχοντος ἐμφορούμενοι καὶ μεμψίμοιροι φαινόμενοι καὶ ἐπὶ τῆς κύλικος ἀτερπῆ καὶ ἀπῳδὰ φιλοσοφοῦντες καὶ τὸν ἄκρατον οὐ φέροντες· οἱ ἰδιῶται δὲ ὁπόσοι ξυμπίνουσι, δηλαδὴ καταπτύουσι φιλοσοφίας, εἰ τοιαῦτα καθάρματα ἐκτρέφει. τὸ δὲ πάντων αἴσχιστον, ὅτι μηδενὸς δεῖσθαι λέγων ἕκαστος αὐτῶν ἀλλὰ μόνον πλούσιον εἶναι τὸν σοφὸν κεκραγὼς μικρὸν ὕστερον αἰτεῖ προσελθὼν καὶ ἀγανακτεῖ μὴ λαβών, ὅμοιον ὡς εἴ τις ἐν βασιλικῷ σχήματι ὀρθὴν τιάραν ἔχων καὶ διάδημα καὶ τὰ ἄλλα ὅσα βασιλείας γνωρίσματα προσαιτοίη τῶν ὑποδεεστέρων δεόμενος. ὅταν μὲν οὖν αὐτούς τι δέῃ λαμβάνειν, πολὺς ὁ περὶ τοῦ κοινωνικὸν εἶναι δεῖν λόγος καὶ ὡς ἀδιάφορον ὁ πλοῦτος καί, τί γὰρ τὸ χρυσίον ἢ ἀργύριον οὐδὲν τῶν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων διαφέρον; ὅταν δέ τις ἐπικουρίας δεόμενος ἑταῖρος ἐκ παλαιοῦ καὶ φίλος ἀπ᾽ οὐκ ὀλίγων ὀλίγα αἰτῇ προσελθών, σιωπὴ καὶ μονὴ καὶ ἀπορία καὶ ἀμαθία καὶ παλινῳδία τῶν λόγων πρὸς τὸ ἐναντίον· οἱ δὲ πολλοὶ περὶ φιλίας ἐκεῖνοι λόγοι καὶ ἡ ἀρετὴ καὶ τὸ καλὸν οὐκ οἶδ᾽ ὅποι

34. λαγωῶν: see App. — **ἐμφορούμενοι**: in *Symp.* 11 Lucian describes an old Stoic as he appeared when confronted, not by theories and syllogisms, but by blood-puddings and other dainties: *ὁρᾷς . . . ὅπως ἐμφορεῖται τῶν ὄψων καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει λανθάνειν οἰόμενος τοὺς ἄλλους;* — **τὸν ἄκρατον οὐ φέροντες**: *they lose their heads*, cf. § 32 *οὐκ ἤνεγκα τὴν αἰσχύνην.* Also *Symp.* 14 ff. where the goblet of *ζωρότερον* proves too much for the Cynic's equanimity. But see App. — For general thought in § 34 cf. S. Matt. 23, 2–7.

35. μηδενός: see Introd. 39 (*a*). — **ἀδιάφορον**: technical term of Stoics. See *Vit. Auct.* 21, and the notes on *Vit. Auct.* 20, for this whole passage. — **τὸν ἐν τοῖς αἰγιαλοῖς ψηφίδων**: with this passage compare *Tim.* 56. — **μονή**: see App.

ποτὲ οἴχεται πάντα ταῦτα ἀποπτάμενα, πτερόεντα ὡς ἀληθῶς
ἔπη, μάτην ὁσημέραι πρὸς αὐτῶν ἐν ταῖς διατριβαῖς σκιαμα-
36 χούμενα. μέχρι γὰρ τούτου φίλος ἕκαστος αὐτῶν, ἐς ὅσον
535 ἂν μὴ ἀργύριον ἢ χρυσίον ᾖ προκείμενον ἐν τῷ μέσῳ· ἢν δέ
τις ὀβολὸν ἐπιδείξῃ μόνον, λέλυται μὲν ἡ εἰρήνη, ἄσπονδα
δὲ καὶ ἀκήρυκτα πάντα, καὶ τὰ βιβλία ἐξαλήλιπται καὶ ἡ
ἀρετὴ πέφευγεν, οἷόν τι καὶ οἱ κύνες πάσχουσιν· ἐπειδάν τις
540 ὀστοῦν ἐς μέσους αὐτοὺς ἐμβάλῃ, ἀναπηδήσαντες δάκνου-
σιν ἀλλήλους καὶ τὸν προαρπάσαντα τὸ ὀστοῦν ὑλακτοῦσι.
λέγεται δὲ καὶ βασιλεύς τις Αἰγύπτιος πιθήκους ποτὲ πυρ-
ριχίζειν διδάξαι καὶ τὰ θηρία — μιμηλότατα δέ ἐστι τῶν
ἀνθρωπίνων — ἐκμαθεῖν τάχιστα καὶ ὀρχεῖσθαι ἀλουργίδας
545 ἀμπεχόμενα καὶ προσωπεῖα περικείμενα, καὶ μέχρι γε πολ-
λοῦ εὐδοκιμεῖν τὴν θέαν, ἄχρι δή τις θεατὴς ἀστεῖος κάρυα
ὑπὸ κόλπον ἔχων ἀφῆκεν ἐς τὸ μέσον· οἱ δὲ πίθηκοι ἰδόντες
καὶ ἐκλαθόμενοι τῆς ὀρχήσεως, τοῦθ' ὅπερ ἦσαν, πίθηκοι
ἐγένοντο ἀντὶ πυρριχιστῶν καὶ ξυνέτριβον τὰ προσωπεῖα καὶ
550 τὴν ἐσθῆτα κατερρήγνυον καὶ ἐμάχοντο περὶ τῆς ὀπώρας
πρὸς ἀλλήλους, τὸ δὲ σύνταγμα τῆς πυρρίχης διελέλυτο καὶ
37 κατεγελᾶτο ὑπὸ τοῦ θεάτρου. τοιαῦτα καὶ οὗτοι ποιοῦσι, καὶ
ἔγωγε τοὺς τοιούτους κακῶς ἠγόρευον καὶ οὔποτε παύσομαι

36. ὑλακτοῦσι: with acc. Cf. Ar. *Vesp.* 1401–1402:

Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας
θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.

And the context here about the dancing apes suggests the fable (in Aesop *Fab.* Halm. 88) of the weasel metamorphosed into a pro tempore maiden but recalled to her weaselhood by the sudden advent of a mouse. See, too, the story (cited by Heitland) in *Apol.* 5, about the ape ὃν Κλεοπάτρᾳ τῇ πάνυ *φασὶ γενέσθαι· ἐκεῖνον γὰρ διδαχθέντα τέως μὲν ὀρχεῖσθαι πάνυ κοσμίως καὶ ἐμμελῶς . . . ἐπεὶ δὲ εἶδεν ἰσχάδας, οἶμαι, ἢ ἀμύγδαλον πόρρω κειμένην, μακρὰ χαίρειν φράσαντα τοῖς αὐλοῖς καὶ ῥυθμοῖς καὶ ὀρχήμασι, συναρπάσαντα κατατρώγειν, ἀπορρίψαντα, μᾶλλον δὲ συντρίψαντα τὸ προσωπεῖον.* — **πυρριχίζειν**: the Spartan and Cretan military dance degenerated — or developed — into a mimetic ballet. See Dict. Antiq. s.v. "Pyrrhica" and "Pantomimus." — **ὀπώρας**: this word is used both for fruit trees, cf. *V. H.* B 13,

THIS PAGE IS LOCKED TO FREE MEMBERS
Purchase full membership to immediately unlock this page

Get Smart

Over 2,000 years of human knowledge in 797,885 volumes

Instant access
$8.99/month

Continue

*Fair usage policy applies

ΑΝΑΒ. Τι δὲ ἄλλο ἢ ἀφεῖσθαι αὐτὸν τοῦ ἐγκλήματος καὶ φίλον ἡμῖν καὶ εὐεργέτην ἀναγεγράφθαι; τὸ γοῦν τῶν Ἰλιέων ἀτεχνῶς πεπόνθαμεν, τραγῳδόν τινα τοῦτον ἐφ' ἡμᾶς κεκινήκαμεν ᾄσόμενον τὰς Φρυγῶν ξυμφοράς. ᾀδέτω δ' οὖν καὶ τοὺς θεοῖς ἐχθροὺς ἐκτραγῳδείτω.

ΔΙΟΓ. Καὶ αὐτός, ὦ Φιλοσοφία, πάνυ ἐπαινῶ τὸν ἄνδρα καὶ ἀνατίθεμαι τὰ κατηγορούμενα καὶ φίλον ποιοῦμαι αὐτὸν γενναῖον ὄντα.

39 ΦΙΛ. Εὖ γε, ὦ Παρρησιάδη· ἀφίεμέν σε τῆς αἰτίας, καὶ ταῖς πάσαις κρατεῖς καὶ τὸ λοιπὸν ἴσθι ἡμέτερος ὤν.

ΠΑΡΡ. Προσεκύνησα τὴν Πτερωτήν· μᾶλλον δὲ τραγικώτερον αὐτὸ ποιήσειν μοι δοκῶ· σεμνότερον γάρ·

ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν
βίοτον κατέχοις
καὶ μὴ λήγοις στεφανοῦσα.

ΑΡΕΤ. Οὐκοῦν δευτέρου κρατῆρος ἤδη καταρχώμεθα, προσκαλῶμεν κἀκείνους, ὡς δίκην ὑπόσχωσιν ἀνθ' ὧν ἐς ὑμᾶς ὑβρίζουσι· κατηγορήσει δὲ Παρρησιάδης ἑκάστου.

—**τὸ τῶν Ἰλιέων**: a proverbial expression like "We have only ourselves to blame for it." It is more fully given in *Pseudolog.* 10 *ἐπεὶ γὰρ κατὰ τὴν παροιμίαν Ἰλιεὺς ὢν τραγῳδοὺς ἐμισθώσω, καιρὸς ἤδη σοι ἀκούειν τὰ σαυτοῦ κακά.*

39. ταῖς πάσαις (sc. *ψήφοις*): in *Bis Acc.* 32 the disguised Lucian lacks one vote of unanimous acquittal. ΔΙΚ. *τίς κρατεῖ*; ΕΡΜ. *πάσαις ὁ Σύρος πλὴν μιᾶς.* —**Προσεκύνησα**: cf. § 5 note. —**τὴν Πτερωτήν**: a happy conjecture for *τήν γε πρώτην.* See App. The winged Victory, crowned with a golden wreath, and standing on the outstretched hand of the great chryselephantine Athena in the Parthenon, was itself more than six feet high. We must suppose that Lucian addresses this Nike. —**ὦ . . . στεφανοῦσα**:

O majestical Victory, shelter my life
'Neath thy covert of wings—
Aye—cease not to grant me thy crowning.

μέγα is adverbial like *πάνυ.* This anapaestic formula is found at the end of three Euripidean plays; i.e. the *Tauric Iphigenia*, *Orestes*, and *Phoenissae.* Another formula (presumably repeated by the actors) was used at the end of the *Alcestis*, *Andromache*, *Bacchae*, *Helena*, and *Medea*, and is likewise borrowed by Lucian for the grand finale

ΠΑΡΡ. Ὀρθῶς, ὦ Ἀρετή, ἔλεξας· ὥστε σύ, παῖ Συλλογισμέ, κατακύψας ἐς τὸ ἄστυ προσκήρυττε τοὺς φιλοσόφους.

40 600 ΣΥΛΛ. Ἄκουε, σίγα· τοὺς φιλοσόφους ἥκειν ἐς ἀκρόπολιν ἀπολογησομένους ἐπὶ τῆς Ἀρετῆς καὶ Φιλοσοφίας καὶ Δίκης.

ΠΑΡΡ. Ὁρᾷς; ὀλίγοι συνέρχονται γνωρίσαντες τὸ κήρυγμα· ἄλλως γὰρ δεδίασι τὴν Δίκην. οἱ πολλοὶ δὲ αὐτῶν 605 οὐδὲ σχολὴν ἄγουσιν ἀμφὶ τοὺς πλουσίους ἔχοντες. εἰ δὲ βούλει πάντας ἥκειν, κατὰ τάδε, ὦ Συλλογισμέ, κήρυττε.

ΦΙΛ. Μηδαμῶς, ἀλλὰ σύ, ὦ Παρρησιάδη, προσκάλει καθ' ὅ τι σοι δοκεῖ.

41 ΠΑΡΡ. Οὐδὲν τόδε χαλεπόν. Ἄκουε, σίγα. ὅσοι φιλό- 610 σοφοι εἶναι λέγουσι καὶ ὅσοι προσήκειν αὐτοῖς οἴονται τοῦ ὀνόματος, ἥκειν ἐς ἀκρόπολιν ἐπὶ τὴν διανομήν. δύο μναῖ ἑκάστῳ δοθήσονται καὶ σησαμαῖος πλακοῦς. ὃς δ' ἂν πώγωνα βαθὺν ἐπιδείξηται, καὶ παλάθην ἰσχάδων οὗτός γε

of his *Symposium*. — **παῖ Συλλογισμέ** κτλ.: *Deduction, my boy* (*induct them into the Acropolis*). Συλλογισμέ is chosen, apparently, as a pun on συλλέγω.

40. **Ἄκουε, σίγα**: this formula is used again *Deor. Concil.* 1, while in *Bis Acc.* 12 we find ἀκούετε λεῴ (cf. *Oyez! Oyez!*). See Ar. *Aves* 448; *Pax* 551; *Ach.* 1000. For σίγα cf. *Ach.* 123 where the herald cries σίγα, κάθιζε. For ἥκειν as imv., chiefly in poetry and legal language, cf. Gildersleeve, *S. C. G.* 420, 5. In Ar. *Ach.* 172 the herald uses it bluntly without any ἀκούετε, i.e. τοὺς Θρᾷκας ἀπιέναι.

41. **δύο μναῖ . . . σησαμαῖος πλακοῦς**: Ruskin takes this as motto in Sect. I of *Sesame and Lilies*. These cakes were a favorite dish. In Luc. *Symp.* 38 they form an essential part of the feast: εἰσεκεκόμιστο ἡμῖν τὸ ἐντελὲς ὀνομαζόμενον δεῖπνον, μία ὄρνις ἑκάστῳ καὶ κρέας ὑὸς καὶ λαγῷα καὶ ἰχθὺς ἐκ ταγήνου καὶ σησαμοῦντες καὶ ὅσα ἐντραγεῖν. So in *Symp.* 27 the Stoic who had been left out notifies the host by letter that it would be useless to try to appease him by sending μοῖράν τινα ἢ συὸς ἢ ἐλάφου ἢ σησαμοῦντος, and the Cynic in § 16 had been tamed down by the providential advent of a πλακοῦς εὐμεγέθης, πρὸς ὃν ἀποβλέψας ἡμερώτερος ἐγένετο καὶ ἔληξε τοῦ θυμοῦ καὶ ἐνεφορεῖτο (*and proceeded to lay in a cargo*) συμπεριὼν (*accompanying the waiter as he made his rounds*). Cf. § 13, where he is described as changing, like the Scythian nomads, ever to pastures new as he followed round with the waiters who

προσεπιλήψεται. κομίζειν δ' ἕκαστον σωφροσύνην μὲν ἢ
615 δικαιοσύνην ἢ ἐγκράτειαν μηδαμῶς· οὐκ ἀναγκαῖα γὰρ ταῦτά γε, ἢν μὴ παρῇ· πέντε δὲ συλλογισμοὺς ἐξ ἅπαντος· οὐ γὰρ θέμις ἄνευ τούτων εἶναι σοφόν.

κεῖται δ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
τῷ δόμεν ὃς μετὰ πᾶσιν ἐριζέμεν ἔξοχος εἴη.

42
620 Βαβαί, ὡς πλήρης μὲν ἡ ἄνοδος ὠθιζομένων, ἐπεὶ τὰς δύο μνᾶς ἤκουσαν μόνον. παρὰ δὲ τὸ Πελασγικὸν ἄλλοι καὶ κατὰ τὸ Ἀσκληπιεῖον ἕτεροι καὶ παρὰ τὸν Ἄρειον πάγον ἔτι πλείους, ἔνιοι δὲ καὶ κατὰ τὸν τοῦ Τάλω τάφον, οἱ δὲ καὶ πρὸς τὸ Ἀνακεῖον προσθέμενοι κλίμακας ἀνέρπουσι βομβηδὸν νὴ

bore the relishes. — **συλλογισμούς**: cf. *Vit. Auct.* 24. — **κεῖται δ' κτλ.**: a parody on *Il.* 18, 507 ff.:

κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
τῷ δόμεν ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴποι.

42. **Βαβαί** κτλ.: for a similar scene cf. *Bis Acc.* 12 and 13 (beginning *βαβαὶ τοῦ θορύβου*) where the parties to all overdue suits are summoned by Hermes to the Areopagus. — **παρὰ δὲ τὸ Πελασγικόν**: as Parrhesiades mentions the following places he must be supposed to move from one side to the other of the Acropolis: (*a*) *τὸ Πελασγικόν*, a large precinct at the base of the Acropolis extending from the Asclepieum on the south side, about opposite the southwest corner of the Parthenon, round the west end and the northwest corner of the rock. Cf. *Bis Acc.* 9, where Pan's cave is mentioned as *μικρὸν ὑπὲρ Πελασγικοῦ*, and see charts in Harrison and Verrall, *Mythol. and Monuments of Anc. Athens*, p. 296 and p. 4; see also p. 538. (*b*) *κατὰ τὸ Ἀσκληπιεῖον*: on the south side of the Acropolis adjoining the Dionysiac Theatre; see Harrison and Verrall l.c. and pp. 297–329. (*c*) *παρὰ τὸν Ἄρειον πάγον*: the Areopagus lies west and slightly north of the Acropolis. (*d*) *κατὰ τὸν τοῦ Τάλω τάφον*: immediately above the Dionysiac Theatre and the Asclepieum, on the south side of the Acropolis and at the base of the cliff. Cf. Harrison and Verrall, pp. 296 and 299. Talos (called Kalos by Pausanias 1, 21, 4) was thrown down this cliff by his master and uncle Daedalus on account of his inventions and too great proficiency in pottery, just as the boy Lucian excited (as he alleges to his mother *Somn.* 4) his uncle's jealousy. (*e*) *πρὸς τὸ Ἀνακεῖον*: the *Ἄνακες* (*ἄνακτες* or *Διόσκουροι*) had their precinct probably on the northern slope of the Acropolis. For the worship of the Twins at Athens see Harrison and Verrall, pp. 151–163. Note in the above the shift in the prepositions

THIS PAGE IS LOCKED TO FREE MEMBERS

Purchase full membership to immediately unlock this page

DELVE INTO FANTASY, MAGIC, MYTHOLOGY & FOLKLORE

Forgotten Books' Full Membership gives access to 797,885 ancient and modern, fiction and non-fiction books.

Continue

*Fair usage policy applies

ΣΤΩΙΚ. Οὐχ ἡμῶν γε τῶν Στωικῶν παρόντων.

ΦΙΛ. Παύσασθε φιλονεικοῦντες· ὑμεῖς δὲ οἱ Κυνικοὶ μήτε ὠθεῖτε ἀλλήλους μήτε τοῖς ξύλοις παίετε· ἐπ' ἄλλα γὰρ ἴστε κεκλημένοι· καὶ νῦν ἔγωγε ἡ Φιλοσοφία καὶ Ἀρετὴ αὕτη καὶ Ἀλήθεια δικάσομεν τίνες οἱ ὀρθῶς φιλοσοφοῦντές εἰσιν, εἶτα ὅσοι μὲν ἂν εὑρεθῶσι κατὰ τὰ ἡμῖν δοκοῦντα βιοῦντες, εὐδαιμονήσουσιν ἄριστοι κεκριμένοι· τοὺς γόητας δὲ καὶ οὐδὲν ἡμῖν προσήκοντας κακοὺς κακῶς ἐπιτρίψομεν, ὡς μὴ ἀντιποιοῖντο τῶν ὑπὲρ αὐτοὺς ἀλαζόνες ὄντες. τί τοῦτο; φεύγετε; νὴ Δία, κατὰ τῶν γε κρημνῶν οἱ πολλοὶ ἁλλόμενοι. κενὴ δ' οὖν ἡ Ἀκρόπολις, πλὴν ὀλίγων τούτων, ὁπόσοι μεμενήκασιν οὐ φοβηθέντες τὴν κρίσιν. οἱ ὑπηρέται, ἀνέλεσθε τὴν πήραν ἣν ὁ Κυνίσκος ἀπέρριψεν ἐν τῇ τροπῇ. φέρ' ἴδω τί καὶ ἔχει, ἤ που θέρμους ἢ βιβλίον ἢ ἄρτους τῶν αὐτοπυριτῶν;

ΠΑΡΡ. Οὔκ, ἀλλὰ χρυσίον τουτὶ καὶ μύρον καὶ κάτοπτρον καὶ κύβους.

ΦΙΛ. Εὖ γε, ὦ γενναῖε. τοιαῦτά σοι ἦν τὰ ἐφόδια τῆς ἀσκήσεως καὶ μετὰ τούτων ἠξίους λοιδορεῖσθαι ἅπασι καὶ τοὺς ἄλλους παιδαγωγεῖν;

ΠΑΡΡ. Τοιοῦτοι μὲν οὖν ὑμῖν οὗτοι. χρὴ δὲ ὑμᾶς σκοπεῖν ὅντινα τρόπον ἀγνοούμενα ταῦτα πεπαύσεται καὶ διαγνώσονται οἱ ἐντυγχάνοντες, οἵτινες οἱ ἀγαθοὶ αὐτῶν καὶ οἵτινες αὖ πάλιν οἱ τοῦ ἑτέρου βίου.

ΦΙΛ. σύ, ὦ Ἀλήθεια, ἐξεύρισκε — ὑπὲρ σοῦ γὰρ τοῦτο γένοιτο ἄν — ὡς μὴ ἐπικρατήσῃ τὸ ψεῦδος μηδὲ ὑπὸ τῇ

founder of the Middle Academy, and Carneades, about 150 B.C., founder of the Third or New Academy. He asserted that there was no sure criterion of truth. Hence Lucian often classifies the (new) Academics and Sceptics together. The Old Academy is represented above by τοὺς Πλατωνικούς. — **ἐριστικώτεροι**: referring to ἐριζέμεν, end of § 41.

44. **ἀντιποιοῖντο**: opt. after primary tense, see Introd. 35 (*a*).

45. **οἱ ὑπηρέται**: for case see § 21. — **τῶν αὐτοπυριτῶν**: *of whole-wheat bread.* For case cf. τῶν ναυπηγικῶν in note on § 46, contrast gen. in Introd. 31. — **τῆς ἀσκήσεως**: *for your profession.*

ἀγνοίᾳ λανθάνωσιν οἱ φαῦλοι τῶν ἀνδρῶν σε τοὺς χρηστοὺς μεμιμημένοι.

46 ΑΛΗΘ. Ἐπ' αὐτῷ, εἰ δοκεῖ, Παρρησιάδῃ ποιησώμεθα τὸ τοιοῦτον, ἐπεὶ χρηστὸς ὦπται καὶ εὔνους ἡμῖν καὶ σέ, ὦ 680 Φιλοσοφία, μάλιστα θαυμάζων, τὸ παραλαβόντα μεθ' ἑαυτοῦ τὸν Ἔλεγχον ἅπασι τοῖς φάσκουσι φιλοσοφεῖν ἐντυγχάνειν, εἶθ' ὃν μὲν ἂν εὕρῃ γνήσιον ὡς ἀληθῶς φιλόσοφον, στεφανωσάτω θαλλοῦ στεφάνῳ καὶ ἐς τὸ Πρυτανεῖον καλεσάτω, ἢν δέ τινι — οἷοι πολλοί εἰσι — καταράτῳ ἀνδρὶ 685 ὑποκριτῇ φιλοσοφίας ἐντύχῃ, τὸ τριβώνιον περισπάσας ἀποκειράτω τὸν πώγωνα ἐν χρῷ πάνυ τραγοκουρικῇ μαχαίρᾳ καὶ ἐπὶ τοῦ μετώπου στίγματα ἐπιβαλέτω ἢ ἐγκαυσάτω κατὰ τὸ μεσόφρυον· ὁ δὲ τύπος τοῦ καυτῆρος ἔστω ἀλώπηξ ἢ πίθηκος.

690 ΦΙΛ. Εὖ γε, ὦ Ἀλήθεια· ὁ δὲ ἔλεγχος, ὦ Παρρησιάδη, τοιόσδε ἔστω, οἷος ὁ τῶν ἀετῶν πρὸς τὸν ἥλιον εἶναι λέγεται, οὐ μὰ Δί' ὥστε κἀκείνους ἀντιβλέπειν τῷ φωτὶ καὶ πρὸς ἐκεῖνο δοκιμάζεσθαι, ἀλλὰ προθεὶς χρυσίον καὶ δόξαν καὶ ἡδονὴν ὃν μὲν ἂν αὐτῶν ἴδῃς ὑπερορῶντα καὶ μηδαμῶς 695 ἑλκόμενον πρὸς τὴν ὄψιν, οὗτος ἔστω τῷ θαλλῷ στεφόμενος, ὃν δ' ἂν ἀτενὲς ἀποβλέποντα καὶ τὴν χεῖρα ὀρέγοντα ἐπὶ τὸ χρυσίον, ἀπάγειν ἐπὶ τὸ καυτήριον τοῦτον ἀποκείραντα πρότερον τὸν πώγωνα.

46. ἀποκειράτω . . . μαχαίρᾳ: cf. the shearing of the philosopher's beard in *D. Mort.* 10, 9. ΦΙΛ. *καὶ τίς ὁ ἀποκείρων ἔσται;* EPM. *Μένιππος οὑτοσί λαβὼν πέλεκυν τῶν ναυπηγικῶν ἀποκόψει αὐτὸν* (i.e. *τὸν πώγωνα*) *ἐπικόπῳ τῇ ἀποβάθρᾳ χρησάμενος.* — **στίγματα ἐπιβαλέτω ἢ ἐγκαυσάτω**: *let him tattoo or brand.* Cf. *Catapl.* 24 ff. where, at the trial before Rhadamanthus, it appears that *ὁπόσα ἄν τις . . . πονηρὰ ἐργάσηται παρὰ τὸν βίον, καθ' ἕκαστον αὐτῶν ἀφανῆ στίγματα ἐπὶ τῆς ψυχῆς περιφέρει.* — **ὁ τῶν ἀετῶν**: in *Icar.* 14 an eagle is the king eagle if *ἀντίον δέδορκε τῷ ἡλίῳ* and *ἠν ἀσκαρδαμυκτί* (*without winking*) *πρὸς τὰς ἀκτῖνας βλέπῃ.* — **ἐπὶ τὸ καυτήριον**: *branding-place* (cf. *δικαστήριον, βουλευτήριον*, and § 27 *πωλητήριον*), or perhaps *branding-iron* or *brand* as in § 52.

47 ΠΑΡΡ. Ὡς ἔδοξεν ἔσται ταῦτα, ὦ Φιλοσοφία, καὶ ὄψει
700 αὐτίκα μάλα τοὺς πολλοὺς αὐτῶν ἀλωπεκίας ἢ πιθηκοφόρους, ὀλίγους δὲ καὶ ἐστεφανωμένους· εἰ βούλεσθε μέντοι, κἀνταῦθα ἀνάξω τινὰς ὑμῖν νὴ Δί' αὐτῶν.

ΦΙΛ. Πῶς λέγεις; ἀνάξεις τοὺς φυγόντας;

ΠΑΡΡ. Καὶ μάλα, ἥνπερ ἡ ἱέρειά μοι ἐθελήσῃ πρὸς ὀλί-
705 γον χρῆσαι τὴν ὁρμιὰν ἐκείνην καὶ τὸ ἄγκιστρον, ὅπερ ὁ ἁλιεὺς ἀνέθηκεν ὁ ἐκ Πειραιῶς.

ΙΕΡ. Ἰδοὺ δὴ λαβέ, καὶ τὸν κάλαμόν γε ἅμα, ὡς πάντα ἔχοις.

ΠΑΡΡ. Οὐκοῦν, ὦ ἱέρεια, καὶ ἰσχάδας μοί τινας δὸς ἀνύσασα καὶ ὀλίγον τοῦ χρυσίου.

710 ΙΕΡ. Λάμβανε.

ΦΙΛ. Τί πράττειν ἀνὴρ διανοεῖται;

ΙΕΡ. Δελεάσας τὸ ἄγκιστρον ἰσχάδι καὶ τῷ χρυσίῳ καθεζόμενος ἐπὶ τὸ ἄκρον τοῦ τειχίου καθῆκεν ἐς τὴν πόλιν.

ΦΙΛ. Τί ταῦτα, ὦ Παρρησιάδη, ποιεῖς; ἦ που τοὺς λίθους
715 ἁλιεύσειν διέγνωκας ἐκ τοῦ Πελασγικοῦ;

ΠΑΡΡ. Σιώπησον, ὦ Φιλοσοφία, καὶ τὴν ἄγραν περίμενε· σὺ δέ, Πόσειδον ἀγρεῦ καὶ Ἀμφιτρίτη φίλη, πολλοὺς ἡμῖν
48 ἀνάπεμπε τῶν ἰχθύων. ἀλλ' ὁρῶ τινα λάβρακα εὐμεγέθη, μᾶλλον δὲ χρύσοφρυν.

